[6] Ενθυμήσου, Κυριε, και στείλε και προς εμέ τους οικτιρμούς σου και τα ελέη σου. Ανεξάντλητα και αιώνια είναι τα ελέη σου, τα οποία έδειξες στους προγόνους μας, στον λαόν του Ισραήλ.

[7] ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου, σύ, ἕνεκεν χρηστότητός σου, Κύριε.

[7] Της νεότητός μας τας αμαρτίας, όπως και τας άλλας, τας οποίας εξ αγνοίας διέπραξα, μη τας ενθυμηθής, Κυριε. Να με ενθυμηθής σύμφωνα με το άπειρον έλεός σου, διότι είναι απέραντος η καλωσύνη σου, Κυριε.

[8] χρηστὸς καὶ εὐθὴς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

[8] Αγαθός και ευεργετικός και δίκαιος προς όλους είναι ο Κυριος. Δι' αυτό θα διδάσκη και θα καθοδηγή με τον Νομον του τους αμαρτάνοντας, δια να επιστρέψουν στον δρόμον της αρετής.

[9] ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

[9] Θα οδηγή πάντοτε ο Κυριος τους πράους και ευθείς στον δρόμον της αρετής και εις φωτισμένην ζωήν. Θα διδάξη τους πράους και ταπεινούς τας οδούς των εντολών του.

[10] πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

[10] Ολαι αι εντολαί του Κυρίου, αι οποίαι αναφέρονται εις ρύθμισιν της ζωής μας, είναι γεμάται από την ευσπλαγχνίαν του και την αξιοπιστίαν του εις εκείνους, οι οποίοι ενδιαφέρονται και ζητούν να μάθουν το θέλημά του και όλας τας εντολάς του.

[11] ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

[11] Δια το Ονομά σου, ελεήμων Κυριε, και προς δόξαν της αγαθότητός σου συγχώρησε τας αμαρτίας μου, αι οποίαι είναι πολλαί και μεγάλαι.

[12] τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

[13] ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

[14] κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

[15] οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

[16] ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
[17] αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
[18] ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
[19] ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν καὶ μῖσος ἄδικον ἐμίσησάν με.
[20] φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

[21] ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.

[22] λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

[12] Ποιός είναι ο άνθρωπος, ο οποίος πράγματι ευλαβείται και σέβεται τον Κυριον; Εις αυτόν θα δώση Νομον ο Κυριος, δια να καθοδηγήται στον δρόμον, τον οποίον έχει εκλέξει.
[13] Η ψυχή του ανθρώπου αυτού θα αναπαύεται ανάμεσα εις πλούσια αγαθά και οι απόγονοί του θα κληρονομούν και θα κατέχουν πάντοτε την γην των προγόνων των.
[14] Ο Κυριος είναι η κραταιά και ακατανίκητος δύναμις αυτών, που τον φοβούνται. Αυτήν την αλήθειαν μαρτυρεί και θα μαρτυρή η διαθήκη, την οποίαν έκαμε προς αυτούς.
[15] Δια τούτο οι οφθαλμοί μου είναι πάντοτε εστραμμένοι προς τον Κυριον, διότι αυτός θα αποσπάση και θα ελευθερώση τα πόδια μου από την παγίδα.
[16] Κυριε, ρίψε ευσπλαγχνικόν το βλέμμα σου προς εμέ και ελέησέ με, διότι είμαι μόνος και ταλαιπωρημένος εις την ζωήν.
[17] Αι θλίψεις της καρδίας μου έχουν πληθυνθή και βαρυνθή. Βγάλε με και λύτρωσέ με από τας στενοχώρους αυτάς περιστάσεις.
[18] Ιδε, Κυριε, την ταπείνωσιν, εις την οποίαν έχω καταπέσει και τον μόχθον, από τον οποίον βαρύνομαι, και συγχώρησε όλας μου τας αμαρτίας.
[19] Ιδέ ακόμη, Κυριε, και τους εχθρούς μου, διότι πάρα πολύ επληθύνθησαν, και με ένα άδικον φοβερόν μίσος με έχουν μισήσει.
[20] Φυλαξε την ζωήν μου από τας επιβουλάς αυτών των εχθρών και γλύτωσέ με. Μη επιτρέψης να εντροπιασθώ και κατεξευτελισθώ από αυτούς, διότι εγώ έχω στηρίξει εις σε την ελπίδα της βοηθείας μου.
[21] Απονήρευτοι και ευθείς άνθρωποι, ξένοι προς κάθε δολιότητα και κακίαν με ακολουθούσαν πιστώς, διότι εγώ, Κυριε, υπέμεινα και επέμεινα ελπίζων εις σέ.
[22] Δια να ενθαρρυνθούν και στερεωθούν και αυτοί εις την προς σε πίστιν, γλύτωσέ με, Κυριε, από θλίψεις και κινδύνους και όχι μόνον εμέ αλλά ολόκληρον τον Ισραηλιτικόν λαόν από όλας τας θλίψεστου.

25 Τοῦ Δαυΐδ.

[1] (Μασ. 26) ΚΡΙΝΟΝ με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω.
[2] δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.

[1] (Μασ. 26) Κρίνόν με, Κυριε, ότι εγώ εν ακακία μου επορεύθην και επί τω Κυρίω ελπίζων ου μη ασθενήσω.

[2] Δοκιμασον με, Κυριε, και πείρασόν με, πύρωσον τους νεφρούς μου και την καρδίαν μου.

[3] ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστι, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.
[4] οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω·
[5] ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
[6] νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε,
[7] τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
[8] Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου.
[9] μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου,
[10] ὧν ἐν χερσὶν ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
[11] ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με καὶ ἐλέησόν με.
[12] ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

[3] Οτι το έλεός σου κατέναντι των οφθαλμών μου εστι, και ευηρέστησα εν τη αληθεία σου.

[4] Ουκ εκάθισα μετά συνεδρίου ματαιότητος και μετά παρανομούντων ου μη εισέλθω·

[5] εμίσησα εκκλησίαν πονηρευομένων και μετά ασεβών ου μη καθίσω.

[6] Νιψομαι εν αθώοις τας χείράς μου και κυκλώσω το θυσιαστήριόν σου, Κυριε,

[7] του ακούσαί με φωνής αινέσεως κοι διηγήσασθαι πάντα τα θαυμάσιά σου.

[8] Κυριε, ηγάπησα ευπρέπειαν οίκου σου και τόπον σκηνώματος δόξης σου.

[9] Μη συναπολέσης μετά ασεβών την ψυχήν μου και μετά ανδρών αιμάτων την ζωήν μου,

[10] ων εν χερσίν ανομίαι, η δεξιά αυτών επλήσθη δώρων.
[11] Εγώ δε εν ακακία μου επορεύθην· λύτρωσαί με και ελέησόν με.
[12] Ο πούς μου έστη εν ευθύτητι· εν εκκλησίαις ευλογήσω σε, Κυριε.

26 Τοῦ Δαυΐδ· πρὸ τοῦ χρισθῆναι.

[1] (Μασ. 27) ΚΥΡΙΟΣ φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;

[2] ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

[3] ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

[1] (Μασ. 27) Ο Κυριος είναι το φως μου μέσα στο σκοτάδι και εις την άγνοιαν της παρούσης ζωής. Ο Κυριος είναι ο σωτήρ μου. Ποιόν λοιπόν έχω να φοβηθώ; Κανένα. Ο Κυριος υπερασπίζει την ζωήν μου από κάθε κίνδυνον. Από τας απειλάς ποίου έχω να δειλιάσω;
[2] Ενῷ με επλησίαζον ορμητικοί οι κακοποιοί άνθρωποι, δια να με κατασπαράξουν και σαν άγρια θηρία να καταφάγουν τας σάρκας μου, αυτοί, που με έθλιβαν και με τέτοιας εχθρικάς διαθέσεις επήρχοντο εναντίον μου, εκλονίσθησαν και έπεσαν συντετριμμένοι κάτω στο χώμα. Τους είχε κτυπήσει ο Κυριος μου και σωτήρ μου.
[3] Εάν, λοιπόν, και παραταχθή ολόκληρον στράτευμα εναντίον μου, δεν θα δειλιάση καθόλου η καρδία μου. Και εάν εξεγερθή πόλεμος εναντίον μου, και εις την περίπτωσιν αυτήν εγώ θα έχω στηριγμένας τας ελπίδας μου στον Κυριον.

[4] μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ.

[4] Μιαν παράκλησιν δια της προσευχής υπέβαλα στον Κυριον. Μιαν χάριν του εζήτησα και του ζητώ· να κατοικώ στον οίκον του Κυρίου όλας τας ημέρας της ζωής μου, δια να βλέπω και να απολαμβάνω τα θέλγητρα του Θεού μου και να επισκέπτωμαι, ως ευλαβής και ταπεινός λάτρης, τον άγιον ναόν του.

[5] ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με.

[5] Αυτοί οι πόθοι πλημμυρίζουν την καρδίαν μου, διότι εις περίοδον μεγάλων κινδύνων ο Κυριος με έκρυψε και με ησφάλισεν εις την σκηνήν του Μαρτυρίου του. Και ως εάν ήμην εις υψηλόν βράχον με ανύψωσεν ασφαλή, με εδόξασε, με έσωσε.

[6] καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ᾽ ἐχθρούς μου· ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ, ᾄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.

[6] Και τώρα, πιστεύω εις την παντοδύναμον προστασίαν του και διακηρύττω ότι ανύψωσε την κεφαλήν, μου εναντίον των εχθρών μου με ανέδειξεν ανώτερόν των. Δι' αυτό και εις ευλαβή λιτανείαν θα κάμω κύκλον περί το θυσιαστήριόν του, θα προσφέρω εις την Σκηνήν του ευχαριστήριον θυσίαν με αλαλαγμούς χαράς, θα τραγουδώ τα μεγαλεία του και θα παίζω μουσικά όργανα προς δόξαν του Κυρίου μου.

[7] εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ᾗς ἐκέκραξα· ἐλέησόν με καὶ εἰσάκουσόν μου.

[7] Κυριε, άκουσε την φωνήν της προσευχής μου, με την οποίαν κραυγάζω τώρα προς σέ. Ελέησέ με και κάμε δεκτήν την παράκλησίν μου.

[8] σοὶ εἶπεν ἡ καρδία μου· ἐξεζήτησέ σε τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.

[8] Προς σε στρέφεται η καρδία μου και λέγει· Σε τον Κυριον ποθώ και αναζητώ πάντοτε. Με πόθον, Κυριε, η καρδία μου αναζητεί και θα αναζητή το πρόσωπόν σου, την επικοινωνίαν σου.

[9] μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεός, ὁ σωτήρ μου.

[9] Μη γυρίσης αλλού το πρόσωπόν σου από εμέ. Μη απομακρυνθής ωργισμένος από εμέ τον δούλόν σου. Γινε βοηθός μου. Μη με αποπέμψης ως ενοχλητικόν και φορτικόν. Θεέ μου και σωτήρα μου, μη με εγκαταλείψης.

[10] ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με.

[10] Διότι ενώ ο πατήρ μου και η μητέρα μου με εγκατέλειψαν, ο Κυριος με προσέλαβε και με ανέλαβεν υπό την προστασίαν του.

[11] νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.

[11] Γινε συ, Κυριε, ο νομοθέτης μου. Διδαξέ με τον δρόμον των εντολών σου, οδήγησέ με εις την ευθείαν οδόν των εντολών σου ένεκα των εχθρών, που με απειλούν.

[12] μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

[12] Μη με παραδώσης εις τα χέρια εκείνων, οι οποίοι έχουν σκοπόν να με καταθλίψουν. Διότι κατά τον καιρόν αυτόν εσηκώθησαν εναντίον μου συκοφάνται, διετύπωσαν ψευδείς κατηγορίας και συκοφαντίας εναντίον μου, δια να εξυπηρετήσουν τα συμφέροντά των.

[13] πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.

[13] Εγώ όμως πιστεύω, ότι θα σωθώ από τους κινδύνους, που με απειλούν. Θα ζήσω και θα ίδω τα αγαθά του Κυρίου εις την γην αυτήν μαζή με τους

[14] ὑπόμεινον τὸν Κύριον· ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

άλλους ανθρώπους.
[14] Ω ψυχή μου, υπόμεινε και επίμενε στο θέλημα του Κυρίου. Περίμενε τον Κυριον, έχε θάρρος, ας ενισχύεται η καρδία σου. Υπόμεινε τον Κυριον εις τας θλίψεις σου και περίμενε την λυτρωτικήν επέμβασίν του.

27 Τοῦ Δαυΐδ.

[1] (Μασ. 28) ΠΡΟΣ σέ, Κύριε, ἐκέκραξα, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ, μήποτε παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

[2] εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.
[3] μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

[4] δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν· κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

[5] ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.

[6] εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

[7] Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου· ἐπ᾽ αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου· καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.

[1] (Μασ. 28) Προς σε, Κυριε, συνεχώς δια της προσευχής μου κραυγάζω. Συ, ο Θεός μου, μη κωφεύσης και μη αντιπαρέλθης με σιωπήν την αίτησίν μου. Διότι, όταν αδιαφορήσης και δεν απαντήσης εις εμέ, θα γίνω όμοιος με ένα από τους ανθρώπους εκείνους, οι οποίοι ρίπτονται νεκροί στον βαθύν τάφον.
[2] Καμε δεκτήν την φωνήν της δεήσεώς μου, την ώραν που με υψωμένα ευλαβώς τα χέριά μου προς τον άγιον ναόν σου σου απευθύνω εκ βάθους καρδίας ολόθερμον ικεσίαν.
[3] Μη με σύρης και μη με καταδικάσης εις όλεθρον μαζή με τους αμαρτωλούς ανθρώπους· με εκείνους, οι οποίοι ως έργον των και σκοπόν της ζωής έχουν, το να αδικούν. Αυτοί είναι δίβουλοι και διπρόσωποι. Ειρηνικούς και φιλικούς λόγους ομιλούν προς τους γύρωτων, σχεδιάζουν όμως κακά έργα μέσα εις τας καρδίας των.
[4] Δώσε, Κυριε, εις αυτούς σύμφωνα με τα έργα των, σύμφωνα με την πονηρίαν και την πανουργίαν των εγκληματικών των σχεδίων και ενεργειών. Δώσε εις αυτούς σύμφωνα με τα κακά έργα των, που διαπράττουν με τα ίδια των τα χέρια. Πλήρωσέ τους και ανταπόδωσέ τους ως μισθόν και ποινήν αυτό, που αρμόζει εις τας αμαρτωλάς των πράξεις.
[5] Διότι αυτοί δεν ηθέλησαν να μελετήσουν και κατανοήσουν τα έργα της παντοδυναμίας και δικαιοσύνης του Κυρίου, τα έργα των χειρών του. Θα τους κατακρημνίσης, θα τους αφήσης στο χώμα συντετριμμένους και δεν θα τους ανεγείρης ποτέ πλέον.
[6] Ας είναι ευλογημένος και δοξασμένος ο Κυριος, διότι ήκουσε και εδέχθη με ευμένειαν την φωνήν της δεήσεώς μου.
[7] Ο Κυριος έγινε βοηθός μου και υπερασπιστής μου. Η καρδία μου εστήριξεν εις αυτόν την ελπίδα της. Δι' αυτό δε και έλαβα στοργικήν βοήθειαν από εκείνον. Το ταλαιπωρημένον και κατεξηντλημένον σώμα μου ανεζωογονήθη. Δια τούτο με όλην μου την θέλησιν και επιθυμίαν θα τον δοξολογήσω.

[8] Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστι.

[8] Ο Κυριος είναι η ακατανίκητος δύναμις και κραταιά βοήθεια του λαού του. Αυτός είναι ο υπερασπιστής του, ώστε με πολλούς και διαφόρους τρόπους και εις πολλάς περιστάσεις εχάρισε την σωτηρίαν στον βασιλέα, τον οποίον ο ίδιος έχρισε.

[9] σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

[9] Σώσε τον λαόν σου τον ισραηλιτικόν και ευλόγησε αυτούς, τους οποίους εξεχώρισες ανάμεσα από τα άλλα έθνη ως ιδικήν σου κληρονομίαν και τους εξέλεξες, δια να ανήκουν εις σέ. Ως στοργικός ποιμήν προστάτευσέ τους, κυβέρνησέ τους, διάθρεψέ τους, πάρε τους υπό την προστασίαν σου δια παντός.

28

Ψαλμὸς τῷ Δαυΐδ· ἐξοδίου σκηνῆς.

[1] (Μασ. 29) ΕΝΕΓΚΑΤΕ τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν,

[1] (Μασ. 29) Σεις οι ιερείς του Κυρίου προσφέρατε προς τον Κυριον, προσφέρατε αμνούς θυσίαν προς τον Κυριον. Προσφέρατε με τας ευλαβείς αυτάς θυσίας δόξαν και τιμήν προς τον Κυριον.

[2] ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

[2] Προσφέρατε προς τυν Κυριον την αρμόζουσαν στο μεγαλοπρεπές Ονομά του δόξαν. Προσκυνήσατε αυτόν εις την ιεράν αυλήν της Σκηνής του.

[3] φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν.

[3] Φωνή Κυρίου αντηχεί επάνω από τα πυκνά, τα φορτωμένα με νερά σύννεφα. Ο μέγας και ένδοξος Θεός εξαπέλυσε τας βροντάς. Ο Κυριος υψώνεται υπεράνω από τας ανυπολογίστους ποσότητας των υδάτων, που υπάρχουν εις τα νέφη.

[4] φωνὴ Κυρίου ἐν ἰσχύϊ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.

[4] Φωνή Κυρίου ισχυρά! Φωνή Κυρίου ακούεται μεγαλοπρεπεστάτη.

[5] φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου

[5] Φωνή Κυρίου βροντά, καθ' ον χρόνον οι κεραυνοί του συντρίβουν τα πανύψηλα κέδρα· και θα συντρίψη ο Κυριος με τους κεραυνούς του τας κέδρους του Λιβάνου.

[6] καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.

[6] Θα λεπτύνη και θα μεταβάλη εις σκόνιν το τεράστιον δάσος, που σκεπάζει τον Λιβανον, όπως εις σκόνιν μετέβαλε τον χρυσούν μόσχον. Αλλά ο ηγαπημένος στον Θεόν λαός του Ισραήλ εν μέσω αυτών των καταιγίδων και καταστροφών παραμένει απτόητος σαν ισχυρός νεαρός υιός του μονοκέρωτος.

[7] φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός,

[7] Η φωνή αυτή του Κυρίου, η βροντή, που έρχεται μετά την αστραπήν, διασχίζει και ανακόπτει φλόγα πυρός·

[8] φωνὴ Κυρίου συσσείοντος ἔρημον καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.

[8] η φωνή του Κυρίου συνταράσσει την έρημον και θα συνταράξη Κυριος την έρημον Καδης.

[9] φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς· καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.

[9] Αι βρονταί με την θύελλαν τρομάζουν τας εγκύους ελάφους και κινούν αυτάς εις προώρους τοκετούς. Απογυμνώνουν δάση ολόκληρα, ώστε να φαίνωνται οι γυμνοί βράχοι. Και ταύτα, εις στιγμήν κατά την

οποίαν στον ναόν του Κυρίου, πάντες οι πιστοί, ήρεμοι δοξάζουν τον Θεόν.

[10] Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.

[10] Ο Κυριος έχει την κατοικίαν του στον κατακλυσμόν των υδάτων, θα καθήση μεγαλοπρεπής εν μέσω των μαινομένων στοιχείων της φύσεως, βασιλεύς αιώνιος και κυβερνήτης πάντων, εμψύχων και αψύχων.

[11] Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

[11] Ο Κυριος θα δώση δύναμιν στον λαόν του, κατά τας κρισίμους περιστάσεις. Ο Κυριος θα ευλογήση τον λαόν του, ώστε να ζη ειρηνικός παρ' όλας τας δυσκολίας και τας περιπετείας, που θα του δημιουργή το περιβάλλον.

29 Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου· Δαυΐδ.

[2] (Μασ. 30) ΥΨΩΣΩ σε, Κύριε, ὅτι ὑπέλαβές με καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ.

[2] (Μασ. 30) Θα σε δοξολογήσω και θα σε υπερυψωσω με ευγνωμοσύνην, Κυριε, διότι με υπεβάστασες και με εστήριξες και δεν επέτρεψες να ευφρανθούν οι εχθροί μου από ενδεχομένην πτώσιν και καταστροφήν μου.

[3] Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με·

[3] Κυριε ο Θεός μου, εφώναξα προς σε με όλην μου την δύναμιν από την κλίνην της ασθενείας μου και συ με εθεράπευσες.

[4] Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.

[4] Από αυτόν τον άδην ανέβασες και επανέφερες την ψυχήν μου. Με έσωσες και δεν αφήκες να συγκαταριθμηθώ με τους νεκρούς, οι οποίοι οδηγούνται στον τάφον.

[5] ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ·

[5] Ας δοξολογήσουν και ας ευχαριστήσουν τον Κυριον μαζή μου όλοι, όσοι είναι αφοσιωμένοι εις αυτόν. Να διατηρήτε ζωηράν στον νουν και την καρδίαν σας την ανάμνησιν της αγιότητός του και της απείρου τελειότητος και να δοξολογήτε το άγιον Ονομά του.

[6] ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ· τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωΐ ἀγαλλίασις.

[6] Δοξολογήσατέ τον, διότι, σαν δίκαιος που είναι, αφήνει να εκσπάση η αγανάκτησίς του και να εκδηλωθή ως οργή και τιμωρία κατά των ασεβών. Αλλά και από το θέλημά του και την ευσπλαγχνίαν του χορηγείται η ζωή και το έλεος στους αγαπώντας αυτόν, διότι είναι πανάγαθος και ελεήμων. Εάν το βράδυ θα διανυκτερεύη μαζή σας, σαν παροδικός επισκέπτης, ο κλαυθμός, την πρωΐαν όμως θα έλθη από τον Κυριον η χαρά και η ευφροσύνη.

[7] ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.

[7] Ανόητος εγώ, βυθισμένος εις τα πλούσια υλικά αγαθά, είπα εν τη ανοησία μου. Δεν θα μετακινηθώ από την κατάστασιν αυτήν της ευτυχίας.

[8] Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου

[8] Κυριε, ελησμόνησα ότι συ με την καλωσύνην σου μου έδωσες δύναμιν εις ο,τι καλόν έχω. Πικραμμένος όμως συ από την ματαιοφροσύνην μου έστρεψες

καὶ ἐγενήθην τεταραγμένος.

[9] πρὸς σέ, Κύριε, κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.
[10] τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; μὴ ἐξομολογήσεταί σοι χοῦς ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;

[11] ἤκουσε Κύριος, καὶ ἠλέησέ με, Κύριος ἐγενήθη βοηθός μου.

[12] ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, διέῤῥηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην,
[13] ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

αλλού το πρόσωπόν σου. Και εγώ τότε περιέπεσα εις ταραχήν και σύγχυσιν.
[9] Προς σε, λοιπόν, Κυριε, κράζω· προς σε τον Θεόν μου απευθύνω και θα απευθύνω την δέησιν αυτήν.
[10] Ποία ωφέλεια θα προέλθη, εάν χύσω το αίμά μου και καταβώ εις την αποσύνθεσιν του τάφου; Μηπως από το χώμα του τάφου το αποσυντεθειμένον σώμα μου θα αναπέμψη εις σε δοξολογίαν η θα διακηρύξη και θα διαλαλήση την αλήθειάν σου;
[11] Αφησε με, λοιπόν, Κυριε εις την ζωήν. Ο Κυριος ήκουσε την προσευχήν μου και με ηλέησεν. Ο Κυριος έγινε και πάλιν βοηθός μου.
[12] Ζυ, Κυριε, μετέβαλες τον θρήνον μου εις χαράν, έσχισες τον τρίχινον σάκκον, που φορούσα εις ένδειξιν του πένθους και της ταπεινώσεώς μου, και με επλημμύρισες και με περιέβαλες με ευφροσύνην·
[13] δια να ψάλη έτσι προς σε ύμνους δοξολογίας και ευγνωμοσύνης η ψυχή μου και να μη κυριευθώ από λύπην και παραμελήσω την δοξολογίαν σου. Κυριε και Θεέ μου, πάντοτε θα σε δοξολογώ.

30

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ· ἐκστάσεως.
[2] (Μασ. 31) ΕΠΙ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

[3] κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με· γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

[4] ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με·
[5] ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε.

[6] εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.

[7] ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς· ἐγὼ δὲ ἐπὶ

[2] (Μασ. 31) Εις σέ, Κυριε, έχω στηρίξει και στηρίζω τας ελπίδας μου. Μη επιτρέψης ποτέ και ντροπιασθώ με την διάψευσιν αυτών. Εν ονόματι της δικαιοσύνης σου γλύτωσέ με και βγάλε με από τους κινδύνους και κατατρεγμούς.
[3] Σκύψε προς εμέ με καλωσύνην, Κυριε, πλησίασε το αυτί σου κοντά μου και άκουσε με ευμένειαν την προσευχήν μου. Σπεύσε γρήγορα να με βγάλης από την δυσκολίαν, εις την οποίαν ευρίσκομαι. Γινε δι' εμέ Θεός υπερασπιστής, οικία ασφαλής, όπου δύναμαι να καταφύγω, δια να σωθώ.
[4] Διότι οχύρωμά μου κραταιόν και καταφύγιόν μου απόρθητον είσαι συ. Και χάρις στο φιλεύσπλαγχνον Ονομά σου, θα με οδηγήσης ως στοργικός προστάτης εις τόπους ασφαλείς και θα με διαθρέψης.
[5] Θα με προφυλάξης και θα με βγάλης σώον από την κρυφή παγίδα, που μου έχουν στήσει δολίως οι εχθροί μου, δια να με συλλάβουν. Διότι συ είσαι, Κυριε, ο υπερασπιστής μου.
[6] Εις την ακαταγώνιστον δεξιάν σου θα εμπιστευθώ την ψυχήν μου, διότι έως τώρα πολλές φορές, Κυριε, με εγλύτωσες, συ ο Θεός της αληθείας, που τηρείς τας υποσχέσεις σου.
[7] Εμίσησες όλους εκείνους, οι οποίοι προσέχουν και λατρεύουν τας ματαιότητας των ειδώλων, χωρίς και

τῷ Κυρίῳ ἤλπισα.

[8] ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου

[9] καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

[10] ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

[11] ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς· ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

[12] παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου· οἱ θεωροῦντες με ἔξω ἔφυγον ἀπ᾽ ἐμοῦ.
[13] ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.
[14] ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν· ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ᾽ ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.
[15] ἐγὼ δὲ ἐπὶ σοὶ ἤλπισα, Κύριε, εἶπα· σὺ εἶ ὁ Θεός μου.
[16] ἐν ταῖς χερσί σου οἱ κλῆροί μου*· ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με. (* Ἄλλη γραφή· οἱ καιροί μου.)
[17] ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου.

[18] Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς

να βλέπουν κανένα κέρδος από αυτά. Εγώ όμως αντιθέτως προς αυτούς εστήριξα και στηρίζω τας ελπίδας μου στον Κυριον.
[8] Θα γεμίσω από αγαλλίασιν, θα πλημμυρίσω από χαράν και ευφροσύνην, όταν απολαύσω το έλεός σου. Είμαι δε βέβαιος ότι θα μου στείλης το έλεός σου, διότι και στο παρελθόν πολλές φορές επέβλεψες με καλωσύνην και συμπάθειαν εις την ταπείνωσίν μου και έσωσες από τους κινδύνους και τας ανάγκας την ψυχήν μου.
[9] Δεν επέτρεψες να περικυκλωθώ και εγκλεισθώ αιχμάλωτος εις τα χέρια των εχθρών μου. Εις ανοικτόν, ευρύχωρον τόπον εστήριξες ακλόνητα τα πόδια μου.
[10] Ελέησέ με, Κυριε, διότι θλίβομαι. Εταράχθη η λειτουργία του οφθαλμού μου και εθόλωσε από την δικαίαν σου οργήν. Η ψυχή μου και τα σωθικά μου ανεστατώθησαν εντός μου.
[11] Διότι επέρασε και έφθασεν έως τέλους ολόκληρος η ζωη μου με θλίψεις και πόνους, και τα έτη μου επέρασαν με στεναγμούς. Λογω των πολλών ταλαιπωριών μου εκλονίσθη και αδυνάτισεν η σωματική μου δύναμις. Τα οστά μου εταράχθησαν και κινδυνεύουν να εξαρθρωθούν.
[12] Εγινα περίγελως και εξουθένωμα εις όλους τους εχθρούς μου. Οι γείτονές μου με εχλεύασαν ανυπόφορα και έχω φθάσει μέχρι του σημείου, ώστε να προκαλώ φόβον στους γνωστούς μου, οι οποίοι και με αποφεύγουν.
[13] Ελησμονήθην από την καρδίαν των φίλων μου, σαν να είμαι πλέον νεκρός. Εγινα σαν σπασμένο αγγείον, το οποίον απορρίπτεται άχρηστον στους δρόμους.
[14] Και επί πλέον ήκουσα συκοφαντίας ανθρώπων, οι οποίοι, κατοικούν γύρω μου. Ολοι αυτοί συνεκεντρώθησαν εναντίον μου και απεφάσισαν να μου πάρουν την ζωήν.

[15] Εγώ όμως ήλπισα εις σέ, Κυριε. Εγώ είπα μετά πίστεως και θάρρους· συ είσαι ο Θεός μου.
[16] Εις τα χέρια σου υπάρχουν αι τύχαι μου. Απάλλαξέ με από τα χέρια αυτών των εχθρών μου, που με καταδιώκουν.

[17] Ας λάμψη το πρόσωπόν σου με το φως της καλωσύνης και του ελέους σου εις εμέ τον δούλόν σου, και σώσε με όχι δια την αξίαν μου, αλλά δια το έλεός σου.
[18] Κυριε, μη παραχωρήσης ποτέ, να εντροπιασθώ, διότι σε και μόνον εγώ δια της προσευχής έχω επικαλεσθή και εις σε εστήριξα τας ελπίδας μου. Ας

ᾅδου.

[19] ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.
[20] ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.
[21] κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

[22] εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

[23] ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.
[24] ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

[25] ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

εντροπιασθούν όμως οι ασεβείς και ας κρημνισθούν εις τα βάθη του άδου.
[19] Βουβά και αμίλητα ας γίνουν τα χείλη των, από τα οποία βγαίνει δόλος και πονηρία και τα οποία λαλούν εναντίον του δικαίου παρανομίας με αλαζονείαν και θράσος, που εξουδενώνει τα πάντα.
[20] Ποσον μέγα είναι το πλήθος της αγαθότητος και καλωσύνης σου, Κυριε, το οποίον επιφυλάσσεις δι' εκείνους, που σε φοβούνται, και έχεις ετοιμάσει να το δώσης εις εκείνους, οι οποίοι με θάρρος ενώπιον όλων των ανθρώπων ελπίζουν εις σέ!
[21] Θα κρύψης αυτούς ασφαλώς εις απόκρυφον καταφύγιον της θείας σου προστασίας, όπου και θα προφυλαχθούν από την άδικον οργήν και επίθεσιν των πονηρών ανθρώπων. Θα τους σκεπάσης μέσα εις την Σκηνήν σου, ώστε να μη θίγωνται καθόλου από ελεεινάς συκοφαντίας φαρμακερών γλωσσών.
[22] Ας είναι δοξοσμένος ο Κυριος, διότι κατά τρόπον θαυμαστόν έδειξεν εις εμέ το έλεός του, και με έσωσε, ως εάν ευρισκόμην μέσα εις οχυράν και απόρθητον πόλιν.
[23] Και όμως εγώ εις στιγμάς παραζάλης και ολιγοπιστίας είχα πει· έχω, λοιπόν, απορριφθή μακράν από τα μάτια σου. Συ όμως ήκουσες την πονεμένην φωνήν της παρακλήσεώς μου, όταν εκραύγασα προς σέ.
[24] Ολοι σεις οι ευσεβείς αγαπήσατε τον Κυριον, διότι ο Κυριος ευαρεστείται εις την αλήθειαν και ανταποδίδει την πρέπουσαν τιμωρίαν εις εκείνους, οι οποίοι φέρονται και ενεργούν με πλεονάζουσαν αλαζονείαν και θράσος.
[25] Να έχετε γενναίον και ανδρείον φρόνημα και η καρδία όλων εκείνων, οι οποίοι ελπίζουν στον Κυριον, ας γίνεται κραταιά και ατρόμητος.

31 Τῷ Δαυΐδ· συνέσεως.

[1] (Μασ. 32) ΜΑΚΑΡΙΟΙ ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι·

[2] μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

[3] ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν·

[1] (Μασ. 32) Τρισευτυχισμένοι είναι εκείνοι, των οποίων έχουν συγχωρηθή από τον Θεόν αι ανομίαι και έχουν σκεπασθή, ώστε να μη φαίνωνται καθόλου, αι αμαρτίαι.
[2] Μακάριος είναι ο άνθρωπος εκείνος, στον οποίον ο Κυριος δεν θα καταλογίση αμαρτίαν, δια να του ζητήση ευθύνας και ούτε υπάρχει στο στόμα του δόλος και υποκρισία, αλλά μόνον ειλικρίνεια και ευθύτης.
[3] Εγώ όμως, διότι δεν μετενόησα ειλικρινώς, αλλά απεσιώπησα την αμαρτίαν μου, δι' αυτό επάληωσαν και αδυνάτισαν τα οστά μου· περιέπεσα εις ατονίαν,

όταν έκραζα στενάζων και οδυρυμένος όλην την ημέραν.

[4] ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. (διάψαλμα).

[4] Ημέραν και νύκτα βαρεία έπεσεν επάνω μου η τιμωρός δεξιά σου, Κυριε. Εβυθίσθην ολόκληρος εις πόνον και ταλαιπωρίαν, διότι σαν αιχμηρά και οδυνηρά άκανθα ενεπήχθη εις εμέ η αμαρτία και η ενόχη μου.

[5] τὴν ἁμαρτίαν μου ἐγνώρισα καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα· εἶπα· ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. (διάψαλμα).

[5] Αλλά μετενόησα. Εξωμολογήθην στον Κυριον την αμαρτίαν μου. Την έκαμα εις αυτόν γνωστήν και δεν συνεκάλυψα πλέον ούτε απέκρυψα την ανομίαν μου. Είπα με όλη μου την καρδία· Θα εξομολογηθώ με ειλικρίνειαν την ανομίαν μου στον Κυριον, και θα κατηγορήσω δι' αυτήν τον εαυτόν μου. Τοτε αμέσως συ, Κυριε, συνεχώρησες την ασέβειαν και εξήλειψες την ενοχήν της καρδίας μου.

[6] ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ· πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

[6] Ακριβώς διότι συ τόσον έλεος δεικνύεις απέναντί μας, δι' αυτό θα προσευχηθή προς σε κάθε ευσεβής και όσιος στον πρέποντα καιρόν. Και όταν ως άλλος κατακλυσμός υδάτων συμφοραί και πειρασμοί επιπέσουν γύρω του, αυτός με την ιδικήν σου συμπαράστασιν θα προστατευθή από αυτάς, ώστε να μη τον εγγίσουν καν.

[7] σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. (διάψαλμα).

[7] Συ είσαι η καταφυγή μου και η παρηγορία μου στον καιρόν της θλίψεως, που με στενοχωρεί. Συ είσαι η αγαλλίασις και η χαρά της ψυχής μου. Γλύτωσέ με από τους πειρασμούς και τους κινδύνους, που με έχουν περικυκλώσει.

[8] συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

[8] Ακούω να απαντάς εις εμέ, Κυριε, και να μου λέγης· Θα σε φωτίζω και θα σε καθοδηγώ στον δρόμον, που πρέπει να βαδίζης. Θα στηρίζω ευμενώς εις σε τους οφθαλμούς μου.

[9] μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

[9] Λοιπόν, σεις οι άνθρωποι με γίνεσθε όμοιοι με τον ίππον και τον ημίονον, στους οποίους δεν υπάρχει καθόλου σύνεσις. Και όπως με σιδερένιο φίμωτρο και χαλινάρι συσφίγγονται αι σιαγόνες των αγρίων αυτών ζώων, ετσι και συ, Κυριε, ας σφίξης με το χαλινάρι των θλίψεων και με τας πολλάς τιμωρίας ας περιορίσης τους αμαρτωλούς, οι οποίοι μένουν αμετανόητοι και δεν θέλουν να πλησιάσουν προς σέ.

[10] πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

[10] Πολλαί είναι αι συμφοραί και αι μάστιγες των αμαρτωλών· τον ελπίζοντα όμως στον Κυριον θα περικυκλώση και θα περιφρουρήση το θείον έλεος.

[11] εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

[11] Σεις, λοιπόν, οι πιστοί και δίκαιοι γεμίσατε από χαράν, πλημμυρίσατε από αγαλλιασιν εν Κυρίω, και τον Κυριον να έχετε καύχημα σας όλοι, όσοι έχετε ευθείαν και ειλικρινη την καρδίαν.

32 Τῷ Δαυΐδ.

[1] (Μασ. 33) ΑΓΑΛΛΙΑΣΘΕ, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.

[1] (Μασ. 33) Σκιρτήσατε από αγαλλιασιν σεις οι δίκαιοι, με χαράν που προέρχεται από τον Κυριον. Εις σας τους ευθείς και ειλικρινείς απέναντι Θεού και ανθρώπων είναι πρέπον και αρμόζον να δοξολογήτε με αγαλλίασιν τον Κυριον.

[2] ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

[2] Δοξολογήσατε τον Κυριον με κιθάραν, με δεκάχορδον ψαλτήριον παίξατε αρμονικούς ύμνους προς χάριν αυτού.

[3] ᾄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ.

[3] Υμνήσατέ τον με άσμα νέον. Παίξατε προς χάριν αυτού με μεγάλον ενθουσιασμόν αρμονικά μέλη με τα μουσικά σας όργανα.

[4] ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει·

[4] Υμνήσατέ τον, διότι ο λόγος του Κυρίου είναι ευθύς και αληθινός. Ολα τα έργα του έχουν αποδειχθή αξιόπιστα σύμφωνα με τας υποσχέσεις, που έχει δώσει.

[5] ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν, τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.

[5] Ο Κυριος αγαπά και εφαρμόζει την δικαιοσύνην του αλλά και το έλεός του. Η γη είναι γεμάτη από το έλεος της αγαθότητός του.

[6] τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·

[6] Με μόνον τον λόγον του έγιναν και εστερεώθησαν οι ουρανοί. Με απλήν πνοήν του στόματός του εδημιουργήθησαν τα απειροπληθή άστρα και η συνεκτική μεταξύ των και η εντός ενός εκάστου από αυτά, απεριόριστος δύναμις.

[7] συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

[7] Συγκεντρώνει ο Θεός και περικλείει τα ύδατα εις τας κοίτας των θαλασσών με όσην ευκολίαν ο άνθρωπος βάζει ύδωρ στο ασκί. Αυτός θέτει και ασφαλίζει τα απύθμενα ύδατα των ωκεανών εις τας απεράντους αβύσσους, όπως μέσα εις τα θησαυροφυλάκια ασφαλίζονται οι θησαυροί των ανθρώπων.

[8] φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ, ἀπ᾽ αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην·

[8] Τον παντοδύναμον, λοιπόν, αυτόν Κυριον ας φοβηθή όλος ο κόσμος. Ενώπιόν του ας συγκλονισθούν και ας συγκινηθούν βαθύτατα όλοι οι κάτοικοι της οικουμένης.

[9] ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

[9] Διότι αυτός λόγον είπε μόνον, και έγιναν όλα εκ του μηδενός. Αυτός έδωσεν εντολήν και εκτίσθησαν τόσον στερεά και ωραία όλα τα δημιουργήματά του.

[10] Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν καὶ ἀθετεῖ βουλὰς ἀρχόντων·

[10] Ο Κυριος διαλύει και εκμηδενίζει τας σκέψεις και τας αποφάσεις των αμαρτωλών εθνών και ματαιώνει τα κακόβουλα σχέδια των πονηρών αρχόντων.

[11] ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

[11] Το θέλημα του Κυρίου παραμένει πάντοτε ισχυρόν και ακλόνητον. Και τα πάνσοφα σχέδια της θείας βουλής του πραγματοποιούνται εις τας γενεάς των γενεών,

[12] μακάριον τὸ ἔθνος, οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ, λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

[12] Τρισευτυχισμένον και ευλογημένον από τον Θεόν είναι το έθνος εκείνο, το οποίον έχει ως Κυριον του τον αληθινόν Θεόν. Μακάριος ο λαός, τον οποίον εξέλεξεν ο Κυριος ως ιδικήν του κληρονομία.

[13] ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος,

[13] Ο Κυριος από τον ουρανόν έρριψε και ρίπτει τα

εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων·
14 ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,
15 ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.

16 οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.
17 ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
18 ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ,

19 ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
20 ἡ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν·
21 ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.

22 γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

βλέμματά του επάνω εις την γην και βλέπει όλους τους ανθρώπους, οι οποίοι κατοικούν εις αυτήν.
14 Από το μεγαλοπρεπές ουράνιον κατοικητήριόν του έρριψε το βλέμμα του και είδεν όλους τους κατοίκους της γης.
15 Αυτός μόνος, χωρίς την βοήθειαν κανενός, έπλασε τας καρδίας των. Αυτός κατανοεί εις όλον το βάθος και πλάτος τα έργα των ανθρώπων και τα κίνητρα αυτών.
16 Κανείς βασιλεύς δεν σώζεται με την μεγάλην του στρατιωτικήν δύναμιν και κανείς γίγας δεν ημπορεί ποτέ να σωθή με την μεγάλην του σωματικήν ισχύν.
17 Το ιππικόν είναι ανίκανον και μάταιον να σώση άλλους, αλλά και κανείς δεν ημπορεί να σωθή όσην μεγάλην δύναμιν και αν διαθέτη.
18 Η σωτηρία από τον Κυριον μόνον προέρχεται. Ιδού οι οφθαλμοί του Κυρίου βλέπουν στοργικώς όλους, όσοι τον σέβονται, όλους όσοι ελπίζουν στο έλεός του,
19 δια να γλυτώση από πρόωρον η άδικον θάνατον την ζωήν των και να τους τροφοδοτήση και τους θρέψη εις περίοδον λιμού.
20 Η ψυχή μας, λοιπόν, με υπομονήν και ελπίδα ακλόνητον θα περιμένη την προστασίαν του Κυρίου, διότι αυτός είναι ο βοηθός και υπερασπιστής μας.
21 Διότι εις αυτόν τον στοργικόν υπερασπιστήν και σωτήρα θα ευφρανθή η καρδία μας και στο Ονομά του το άγιον, που έχομεν ελπίσει και θα εξακολουθούμεν να ελπίζωμεν.
22 Είθε, Κυριε, να εκχυθή και να μείνη πλούσιον εις ημάς το έλεός σου, όπως και ημείς με ακλόνητον πίστιν και πεποίθησιν έχομεν ελπίσει εις σέ.

33 Αβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.
2 (Μασ. 34) ΕΥΛΟΓΗΣΩ τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

3 ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πρᾳεῖς, καὶ εὐφρανθήτωσαν.

4 μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

2 (Μασ. 34) Θα δοξολογώ τον Κυριον εις κάθε περίστασιν της ζωής μου, ευμενή η δυσμενή, και έτσι η δοξολογία του θα ευρίσκεται πάντοτε εις το στόμα μου.
3 Η ψυχή μου στον Κυριον θα έχη το καύχημά της και τον έπαινόν της. Ας το ακούσουν αυτό όσοι με υπομονήν και πραότητα βαστάζουν την θλίψιν των και ας σκιρτήσουν από χαράν, διότι θα τους ελεήση ο Κυριος.
4 Δοξολογήσατε μαζή μου τον Κυριον όλοι οι δίκαιοι. Ολοι μαζή ας ανυμνολογήσωμεν και ας διαλαλήσωμεν με αίνους το άπειρον μεγαλείον του Ονόματός του.

[5] ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐῤῥύσατό με.
[6] προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

[7] οὗτος ὁ πτωχὸς ἐκέκραξε καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
[8] παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.

[9] γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.

[10] φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

[11] πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. (διάψαλμα).

[12] δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.
[13] τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

[14] παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.
[15] ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

[16] ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

[17] πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

[18] ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν

[5] Με πόθον παρεκάλεσα τον Κυριον και εκείνος ήκουσεν ευμενώς την παράκλησίν μου και με εγλύτωσεν από όλας τας θλίψεις μου.
[6] Ελάτε, λοιπόν, προς αυτόν όλοι οι θλιμμένοι, δια να πάρετε το φως της χαράς· και ας είσθε βέβαιοι, ότι τα θλιμμένα πρόσωπά σας δεν θα εντροπιαστούν, διότι δεν θα διαψευσθούν αι ελπίδες σας.
[7] Ιδού, αυτός ο πτωχός, όπως και κάθε πτωχός και αδύνατος, έκραξε με πίστιν προς τον Κυριον, και ο Κυριος εδέχθη ευμενώς την δέησίν του και τον έσωσεν από όλας τας θλίψστου.
[8] Αγγελος Κυρίου θα στρατοπεδεύη γύρω και θα περιφρουρή όσους σέβονται τον Κυριον και θα τους γλυτώση από τους κινδύνους, στους οποίους έχουν εκτεθή.
[9] Δοκιμάστε προσωπικώς και θα πεισθήτε, ότι ο Κυριος είναι αγαθός και ευεργετικός. Μακάριος είναι ο άνθρωπος, ο οποίος εις αυτόν στηρίζει τας ελπίδας του.
[10] Σεβασθήτε και ευλαβηθήτε, λοιπόν, τον Κυριον όλοι οι άγιοι, οι αφιερωμένοι εις αυτόν, διότι δεν θα επιτρέψη να στερηθούν από τίποτε εκείνοι, οι οποίοι τον σέβονται.
[11] Εξ αντιθέτου, πλούσιοι στο παρελθόν επτώχευσαν και θα πτωχεύσουν και θα πεινάσουν, ενώ εκείνοι οι οποίοι μετά πίστεως παρακαλούν τον Κυριον και ζητούν την προστασίαν του, δεν θα στερηθούν από κανένα αγαθόν.
[12] Ελάτε, λοιπόν, τέκνα μου, και ακούσατέ με. Θα σας διδάξω να σέβεσθε και να ευλαβήσθε τον Θεόν.
[13] Ποιός άνθρωπος θέλει να ζήση ζωήν καλήν και μακράν; Ποιός αγαπά να ίδη ευτυχισμένας τας ημέρας της ζωής του;
[14] Συ, που ποθείς και θέλεις τούτο, σταμάτησε την γλώσσάν σου από τας κακολογίας και κλείσε τα χείλη σου, ώστε να μη λαλούν δολιότητας.
[15] Φυγε μακρυά από κάθε κακόν, κάμε το αγαθόν και ευάρεστον ενώπιον του Κυρίου. Ζητησε την ειρήνην με τον εαυτόν σου και με τους άλλους, και επιδίωξέ την με κάθε τρόπον.
[16] Τα μάτια του Κυρίου στρέφονται με ευμένειαν προς τους δικαίους και τα αυτιά του με προσοχήν ακούουν την δέησίν των.
[17] Αντιθέτως, ωργισμένον το πρόσωπον του Κυρίου έχει στραφή εναντίον των πονηρών ανθρώπων, δια να τους εξολοθρεύση από την γην και να σβήση και αυτήν ακόμη την ανάμνησίν των.
[18] Εκραξαν με θερμήν προσευχήν προς τον Κυριον οι δίκαιοι και ο Κυριος εισάκουσε με ευμένειαν την δέησίν των και τους απήλλαξεν από όλας τας θλίψεις

ἐῤῥύσατο αὐτούς.
19 ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

20 πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος·
21 φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
22 θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

23 λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

των.
19 Ο Κυριος είναι πλησίον, συμπαραστάτης και βοηθός, εις όλους εκείνους, που είναι συντετριμμένοι ψυχικώς από τας θλίψεις και θα σώση αυτούς, οι οποίοι έχουν αποκτήσει το ταπεινόν φρόνημα.
20 Πολλαί είναι πράγματι αι θλίψεις των δικαίων. Και από όλας αυτάς θα τους απαλλάξη ο Κυριος.

21 Ο Κυριος προφυλάσσει όλα τα οστά αυτών, ώστε κανένα από αυτά να μη πάθη ουδέ την παραμικροτέραν βλάβην.
22 Εξ αντιθέτου όμως ο θάνατος των αμαρτωλών είναι κακός και οδυνηρός. Οσοι δε μισούν τον δίκαιον θα περιπέσουν εις ολέθρια σφάλματα, δια τα οποία θα κατακριθούν και θα τιμωρηθούν από τον Θεόν.
23 Ο Θεός θα απαλλάξη την ζωήν των δούλων του από τους κινδύνους και δεν θα αποτύχουν εις την ζωήν των όλοι, όσοι ελπίζουν εις αυτόν.

34 Τῷ Δαυΐδ.

1 (Μασ. 35) ΔΙΚΑΣΟΝ, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.
2 ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου,
3 ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με· εἶπον τῇ ψυχῇ μου· Σωτηρία σού εἰμι ἐγώ.
4 αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

5 γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς·

6 γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς·

7 ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.

1 (Μασ. 35) Δικασε και τιμώρησε, Κυριε, αυτούς, οι οποίοι με αδικούν. Πολέμησε αυτούς, οι οποίοι με πολεμούν και ζητούν να με εξοντώσουν.
2 Αρπαξε στο παντοδύναμον χέρι σου όπλον και ασπίδα, σήκω επάνω και έλα εις βοήθειάν μου.
3 Βγάλε από την θήκην της γυμνήν την ρομφαίαν και κλείσε από όλα τα σημεία τον δρόμον αυτών, οι οποίοι με καταδιώκουν. Πες εις την ψυχήν μου· Μη δειλιάζης, διότι εγώ είμαι η σωτηρία σου.
4 Ας καταισχυνθούν και ας κατεντροπιασθούν εκείνοι, οι οποίοι ζητούν να αφαιρέσουν την ζωήν μου. Ας στραφούν προς τα οπίσω τρεπόμενοι εις άτακτον φυγήν και ας κατεντροπιασθούν εκείνοι, οι οποίοι μελετούν και αποφασίζουν κακά εναντίον μου.
5 Ας γίνουν σαν κονιορτός στο ισχυρόν φύσημα του ανέμου. Αγγελος Κυρίου ας επέλθη εναντίον αυτών ποδοπατών και συνθλίβων τον ένα επάνω στον άλλον.
6 Ας γίνη ο δρόμος κατά την πανικόβλητον άτακτον φυγήν των σκοτάδι και ολίσθημα, ώστε ούτε να βλέπουν ούτε και να ημπορούν να βαδίσουν ασφαλώς, άγγελος δε Κυρίου ας τους καταδιώκη συνεχώς·
7 διότι, χωρίς εγώ να πταίσω τίποτε εις αυτούς, έστησαν κρυφίως δολίαν παγίδα με τον σκοπόν να πέσω εις λάκκον θανάτου, στον τάφον. Χωρίς

καμμίαν αιτίαν και αφορμήν με ύβρισαν και με εχλεύασαν.

[8] ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.
[8] Ο αρχηγός των ας πέση και ας συλληφθή εις αφανή παγίδα, την οποίαν δεν γνωρίζει. Και η παγίς, την οποίαν έκρυψε δι' εμέ, ας συλλάβη αυτόν τον ίδιον. Ας πέση εις την παγίδα αυτήν, που έστησε δι' εμέ.

[9] ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.
[9] Η ιδική μου ψυχή θα γέμιση από αγαλλίασιν δια την προστασίαν του Κυρίου, θα χαρή, θα δοκιμάση μεγάλην τέρψιν δια την σωτηρίαν, που μου εχαρισεν.

[10] πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, τίς ὅμοιός σοι; ρυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.
[10] Ολα τα οστά μου, τα έως τώρα συντετριμμένα από την θλίψιν, αναζωογονημένα θα είπουν· Κυριε, ποιός άλλος είναι όμοιος με σέ; Κανείς. Συ είσαι εκείνος, ο οποίος σώζστον αδύνατον πτωχόν από τα χέρια των ισχυροτέρων και τον ταλαιπωρημένον και ενδεή άνθρωπον από εκείνους, που αρπάζουν τα υπάρχοντά του.

[11] ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἐπηρώτων με.
[11] Οταν εδικάζετο η κατ' εμού κατηγορία των, εσηκώθησαν εναντίον μου μάρτυρες ασυνείδητοι και συκοφάνται. Και με ερωτούσαν δια σφάλματα και παραπτώματα, δια τα οποία ούτε ιδέαν είχα.

[12] ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.
[12] Μου ανταπέδιδαν κακά αντί των ευεργεσιών, που τους είχα κάμει, και πικράν θλίψιν ωσάν εκείνην, που γεύεται η ολομόναχη άτεκνος γυναίκα.

[13] ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.
[13] Εγώ όμως, όταν αυτοί με κατέθλιβον με τας συκοφαντίας των, εφορούσα το σάκκινον ένδυμα του πένθους και του πόνου. Εταλαιπωρούσα με νηστείαν την ζωήν μου και η προσευχή μου, αν δεν ωφελήση εκείνους εξ αιτίας της σκληροκαρδίας των, θα γίνη οπωσδήποτε δεκτή από σε και θα επιστρέψη σωτήριος και αγαθοποιός εις εμέ.

[14] ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ οὕτως εὐηρέστουν· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην.
[14] Εφερόμην προς τον καθένα από αυτούς ως προς φίλον μου και αδελφόν μου. Σαν άνθρωπος, που πενθεί και γίνεται κατηφής δια τον θάνατον προσφιλούς προσώπου, έτσι και εγώ τόσον πολύ

[15] καὶ κατ᾽ ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ᾽ ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων, διεσχίσθησαν καὶ οὐ κατενύγησαν.
[15] Εκείνοι όμως εχαιρεκακούσαν εις βάρος μου. Συνηθροίσθησαν εναντίον μου, δια να με κτυπήσουν ανελέητα. Εγώ δε ούτε καν και υπωπτεύθην την συνωμοσίαν των. Διεσκορπίσθησαν όμως από τον Θεόν, και όμως δεν μετενόησαν. Δεν ησθάνθησαν κανένα κέντημα της συνειδήσεώς των.

[16] ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας αὐτῶν.
[16] Με επείραζαν, με περιγελούσαν με πολλήν καταφρόνησιν. Ετριζαν με αγριότητα εναντίον μου τα δόντια των.

[17] Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.
[17] Κυριε, πότε θα επιβλέψης εις τα κακουργήματα των πονηρών ανθρώπων; Επανάφερε εις την χαρουμένην και ασφαλή κατάστασιν την ζωήν μου. Γλύτωσέ με από την κακουργίαν εκείνων. Περιφρούρησε την μίαν και μόνην ζωήν μου από τους εχθρούς μου, οι οποίοι σαν λέοντες ορμούν εναντίον μου.

[18] ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

[19] μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντες με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.

[20] ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ ἐπ᾽ ὀργὴν δόλους διελογίζοντο.

[21] καὶ ἐπλάτυναν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν, εἶπαν· εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.
[22] εἶδες, Κύριε, μὴ παρασιωπήσῃς, Κύριε, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ·

[23] ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου.

[24] κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.

[25] μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν· εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποιεν· Κατεπίομεν αὐτόν.
[26] αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου, ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορῥημονοῦντες ἐπ᾽ ἐμέ.
[27] ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου καὶ εἰπάτωσαν διαπαντός· μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.
[28] καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

2 (Μασ. 45) ΕΞΗΡΕΥΞΑΤΟ ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

2 (Μασ. 45) Από την γεμάτην ιερά αισθήματα καρδίαν μου υπερεξεχείλισε και εξεπήγασε λόγος έξοχος, ωραίος, σωτήριος. Ναι· απαγγέλλω εγώ το ποίημά μου στον βασιλέα. Η γλώσσά μου θα μεταβληθή εις πένναν ταχογράφου γραμματέως, δια να εκφράση τα ιερά συναισθήματα της καρδίας μου.

3 ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς

3 Είσαι συ, ω Χριστέ και Μεσσία, ωραιότατος. Η

τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

ωραιότης σου υπερβαίνει όλας τας καλλονάς των ανθρώπων. Ιδιαιτέρα χάρις έχει χυθή στους λόγους των χειλέων σου. Δια τούτο ο Θεός σε ηυλόγησε, σου έδωσε χάριτας και δωρεάς εις όλους τους αιώνας.

[4] περίζωσαι τὴν ρομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου

[4] Ζώσε γύρω από τη μέσην σου και κρέμασε παρά τον μηρόν σου την ρομφαίαν σου, ω δυνατέ, ώστε αυτή να είναι ο επί πλέον οπλισμός εις την ωραιότητά σου και το κάλλος σου.

[5] καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

[5] Τέντωσε το τόξον σου και προχώρει με επιτυχίαν. Στήσε το βασίλειον της αληθείας σου, της πραότητος και της δικαιοσύνης. Και ασφαλώς η παντοδύναμος δεξιά σου θα σε οδηγήση εις θαυμαστά κατορθώματα.

[6] τὰ βέλη σου ἠκονημένα, δυνατέ —λαοὶ ὑποκάτω σου πεσοῦνται— ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

[6] Τα βέλη σου, ω δυνατέ, είναι ακονισμένα και αιχμηρά. Πλήθος από τους εχθρούς σου θα πέσουν νεκροί κάτω εις την γην, διότι αυτά θα εμπηγνύωνται εις τας καρδίας των εχθρών του βασιλέως.

[7] ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

[7] Ο βασιλικός σου θρόνος, ω Θεέ Χριστέ μου, θα παραμένη ακλόνητος εις όλους τους αιώνας και η βασιλική σου ράβδος θα είναι εξουσία ευθύτητος και δικαιοσύνης.

[8] ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

[8] Ηγάπησες την δικαιοσύνην και εμίσησες την παρανομίαν. Δια τούτο, ω Θεέ Χριστέ μου, ο Θεός πατήρ σου σε έχρισε με πνευματικόν χρίσμα αγαλλιάσεως, ασυγκρίτως ανώτερον από το χρίσμα του ελαίου, με το οποίον εχρίοντο οι ιερείς, οι προφήται και οι βασιλείς, αυτοί που συμβρλικώς μετείχον εις ομοίαν χρίσιν με την ιδικήν σου.

[9] σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε.

[9] Ευώδη μύρα, σμύρνα, αρωματώδες δάκρυ πολυτίμου δένδρου και κασία, εκπέμπουν την ευωδίαν των από τα ιμάτιά σου, τα οποία μόλις τώρα εξήχθησαν από πολύτιμα κιβώτια ελεφαντοστού και σε ηύφραναν με την γλυκείαν ευωδίαν των.

[10] θυγατέρας βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

[10] Πριγκίπισσαι, θυγατέρες βασιλέων, αποτελούν την τιμητικήν συνοδείαν σου. Εις τα δεξιά σου μεγαλοπρεπής ίσταται η βασίλισσα, στολισμένη και φέρουσα φόρεμα υφασμένον με χρυσάς κλωστάς και ποικίλα κεντήματα και χρώματα.

[11] ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου·

[11] Συ, ω μελλόνυμφος κόρη, άκουσε την συμβουλήν μου. Κλίνε το αυτί σου, ώστε να ακούη με προσοχήν και να δέχεται τας εντολάς του και λησμόνησε εντελώς τον λαόν, στον οποίον μέχρι τώρα ανήκες, και αυτόν ακόμη τον πατρικόν σου οίκον.

[12] καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι Κύριός σου,

[12] Τοτε ο βασιλεύς νυμφίος σου θα αγαπήση το κάλλος σου. Επειδή όμως αυτός είναι και ο Κυριος σου,

[13] καὶ προσκυνήσεις αὐτῷ. καὶ θυγάτηρ Τύρου ἐν δώροις· τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ

[13] θα προσκυνήσης αυτόν. Η περίφημος και πλουσιωτάτη Τυρος θα αποστείλη, τιμής ένεκεν, πολλά δώρα. Οι πλούσιοι άρχοντες των λαών θα

πλούσιοι τοῦ λαοῦ.

[14] πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

[15] ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι·

[16] ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.
[17] ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν υἱοί σου· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

[18] μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ζητούν ικετευτικώς, ώσαν εις λιτανείαν, την εύνοιαν του προσώπου σου.
[14] Ολη η δόξα της νύμφης, η οποία είναι θυγάτηρ του βασιλέως, προέρχεται από τον πλούσιον εσωτερικόν στολισμόν της αρετής και των πνευματικών της χαρίτων. Με κροσσωτόν χρυσοκέντητον ένδυμα είναι περιβεβλημένη και στολισμένη.
[15] Θα προσαχθούν στον βασιλέα παρθένοι, αι οποίαι θα ακολουθούν οπίσω από αυτήν ως τιμητική της συνοδεία. Αι φίλαι της, που την συνοδεύουν, θα προσαχθούν εις σε τον βασιλέα και νυμφίον.
[16] Ούτως αι δύο μεγαλοπρεπείς πομπαί, νυμφίου και νύμφης, θα προχωρούν με χαράν και αγαλλίασιν και θα φθάσουν στο ανάκτορον του βασιλέως νυμφίου.
[17] Ω βασίλισσα, αντί των προγόνων σου τους οποίους εγκατέλειψες και ηρνήθης, θα είναι τώρα εις την θέσιν αυτών τα τέκνα σου, τα οποία εγεννήθησαν εις σε από τον πνευματικόν σου γάμον με τον νυμφίον Χριστόν. Θα αναδείξης και θα καταστήσης αυτούς άρχοντας εις ολόκληρον την γην.
[18] Ω βασιλεύ, θα μνημονεύω και θα διαλαλώ το Ονομά σου εις τας γενεάς των γενεών. Δια τούτο λαοί και φυλαί διάφοροι θα σε υμνολογούν ακατοπταύστως στον αιώνα του αιώνος.

45

Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων ψαλμός.
[2] (Μασ. 46) Ο ΘΕΟΣ ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.
[3] διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.
[4] ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. (διάψαλμα).
[5] τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

[6] ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ

[2] (Μασ. 46) Ο Θεός μας στο παρελθόν υπήρξε το απόρθητον καταφύγιόν μας, η ακατανίκητος δύναμίς μας, ο βοηθός εις τας μεγάλας θλίψεις, αι οποίαι μας είχαν εύρει.
[3] Δια τούτο δεν θα φοβηθώμεν και τώρα, έστω και αν συγκλονίζεται εκ θεμελίων όλη η γη, και βουνά ολόκληρα αποσπώνται και βυθίζωνται στο μέσον των ωκεανών.
[4] Εστω και αν ταραχθούν και βουΐζουν τα ύδατα των θαλασσών, και αν αναστατωθούν τα όρη με την τρομεράν δύναμιν του Κυρίου, ημείς δεν θα φοβηθώμεν.
[5] Η Ιερουσαλήμ κατά τον καιρόν αυτόν της αναταραχής των στοιχείων θα διατηρηθή εν ασφαλεία. Τα ρεύματα του ποταμού, ο οποίος ρέει πλησίον της, ευφραίνουν την πόλιν του Θεού, την οποίαν ο Υψιστος ηγίασε, δια να είναι ιερός τόπος κατοικίας του.
[6] Ο Θεός κατοικεί εν τω μέσω αυτής και την προστατεύει, ώστε να μη σαλευθή. Ταχέως στον

Θεὸς τὸ πρὸς πρωΐ πρωΐ.

[7] ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι· ἔδωκε φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ.

[8] Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς ᾽Ιακώβ. (διάψαλμα).
[9] δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.

[10] ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς τόξον συντρίψει καὶ συνθλάσει ὅπλον καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.
[11] σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

[12] Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς ᾽Ιακώβ.

κατάλληλον καιρόν και αποτελεσματικώς θα την βοηθήση ο Κυριος.
[7] Εταράχθησαν τα έθνη εναντίον της Ιερουσαλήμ, εκινήθησαν εναντίον της βασίλεια ολόκληρα, αλλά ο Κυριος εξαπέλυσεν εκ των άνω φωνήν και εβροντησε και εσείσθη ολόκληρος η γη.
[8] Ο Κυριος όλων των δυνάμεων του ουρανού και της γης είναι μαζή μας. Προστάτης μας είναι αυτός ούτος ο Θεός του πατριάρχου μας Ιακώβ.
[9] Ελάτε όλοι και ίδετε τα μεγάλα έργα του Θεού. Τα θαυμαστά τρόπαια, τα οποία έστησεν εις την χώραν μας.
[10] Αυτός είναι που καταπαύει τους πολέμους έως εις τα πέρατα της γης της Επαγγελίας. Συντρίβει τα τόξα των εχθρών, σπάζει τα όπλα των και κατακαίει τας μεγάλας ασπίδας των με φωτιά.
[11] Αφήσατε κατά μέρος κάθε βιοτικόν περισπασμόν και μάθετε ότι εγώ είμαι ο αληθινός Θεός. Θα δοξασθώ δε και μεταξύ των άλλων εθνών, θα μεγαλυνθώ εις όλην την οικουμένην.
[12] Ο Κυριος των αγγελικών δυνάμεων είναι μαζή μας, ο Θεός του Ιακώβ αυτός είναι ο βοηθός και προστάτης μας.

46

Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός.
[2] (Μασ. 47) ΠΑΝΤΑ τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
[3] ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
[4] ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·
[5] ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν ᾽Ιακώβ, ἣν ἠγάπησεν. (διάψαλμα).

[6] ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

[7] ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε,
[8] ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς.

[9] ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

[2] (Μασ. 47) Ολα τα έθνη χειροκροτήσατε. Ζητωκραυγάσατε και αλαλάξατε προς δόξαν του Θεού με φωνήν μεγάλης χαράς.
[3] Διότι ο Κυριος είναι ο Υψιστος Θεός, φοβερός, μέγας βασιλεύς ολοκλήρου της οικουμένης.
[4] Υπεδούλωσεν εις ημάς άλλους λαούς, έθνη ειδωλολατρικά υπέταξε κάτω από τους πόδας μας.
[5] Εδιάλεξε και έδωκεν εις ημάς ως μόνιμον πατρίδα την ιδικήν του κληρονομίαν, την ωραιοτάτην αυτήν χώραν του ισραηλιτικού λαού, την οποίαν πολύ ηγάπησεν.
[6] Ενίκησεν ο Θεός και ανέβη στον ουρανόν εν μέσω αλαλαγμών. Ανέβη ο Κυριος, ενώ αι σάλπιγγες αντηχούσαν θριαμβευτικά θούρια.
[7] Ψαλατε ύμνους στον Θεόν μας, ψάλατε, ψάλατε με μουσικά όργανα εγκωμιάζοντες τον βασιλέα μας.
[8] Ψαλατε, διότι ο Θεός μας είναι βασιλεύς όλου του κόσμου. Ψαλατε προς αυτόν με επίγνωσιν του μεγαλείου του.
[9] Ο Θεός μας εβασίλευσε και θα βασιλεύση εις όλα τα ειδωλολατρικά έθνη. Ο Θεός κάθεται επάνω στον άγιον, τον υπέρλαμπρον ουράνιον θρόνον του.

[10] ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ ʽΑβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

[10] Οι άρχοντες των λαών συνήχθησαν ενώπιον του Θεού του Αβραάμ, διότι του Θεού δούλοι είναι οι κραταιοί αυτοί άρχοντες του κόσμου και δια τούτο πλησίον του Θεού εξυψώθησαν και εδοξάσθησαν πάρα πολύ.

47 Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ· δευτέρα σαββάτου.

[2] (Μασ. 48) ΜΕΓΑΣ Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ,

[2] (Μασ. 48) Μέγας είναι, ο Κυριος και άξιος να υμνολογήται ακαταπαύστως με το παραπάνω από όλους μας εις την πόλιν του και στον ιερόν λόφον της Σιών·

[3] εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς. ὄρη Σιών, τὰ πλευρὰ τοῦ Βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.

[3] στο ασφαλώς και ακλονήτως ριζωμένον αγαλλίαμα αυτό όλου του κόσμου. Ποσον ωραία είναι τα υψώματά σου, Σιών! Μαλιστα τα προς βορράν υψωμένα πλευρά του, όπου είναι ο ναός και κάτω από αυτά η Ιερουσαλήμ, η πόλις του μεγάλου βασιλέως.

[4] ὁ Θεὸς ἐν τοῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.

[4] Ο Θεός καθιστά γνωστήν και εμφανή την παρουσίαν του στους οχυρούς πλουσίους πύργους της πόλεως, όταν προσφέρη την έγκαιρον βοήθειάν του και προστασίαν εις αυτήν.

[5] ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, ἦλθοσαν ἐπὶ τὸ αὐτό·

[5] Διότι ιδού, οι βασιλείς της γης συνεκεντρώθησαν από τας διαφόρους χώρας. Εισήλθον όλοι μαζή εις τα σύνορα της Ιουδαίας, έφθασαν απέναντι της Ιερουσαλήμ.

[6] αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν,
[7] τρόμος ἐπελάβετο αὐτῶν, ἐκεῖ ὠδῖνες ὡς τικτούσης.
[8] ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσίς.

[6] Μολις όμως αντίκρυσαν την πόλιν, κατεπλάγησαν, εταράχθησαν, συνεκλονίσθησαν,
[7] τρόμος τους κατέλαβε. Εδοκίμασαν πόνους, ωσάν εκείνους που αισθάνεται η επίτοκος γυνή.
[8] Θα τους συντρίψης, συ Κυριε, με την δύναμίν σου, όπως με τον ορμητικόν άνεμον συντρίβεις τα περίφημα πλοία, τα οποία πλέουν εις την Θαρσίς, έως εις τα άκρα της Μεσογείου.

[9] καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν· ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. (διάψαλμα).

[9] Καθώς ηκούσαμεν να μας διηγούνται οι πρόγονοί μας, έτσι είδαμεν σήμερον εις την πόλιν αυτήν του Κυρίου και βασιλέως των ουρανίων και επιγείων δυνάμεων, εις την πόλιν του Θεού μας. Είδομεν μεγάλα πράγματα. Ο Θεός έχει θεμελιώσει την Ιερουσαλήμ, δια να μένη ακλόνητος στον αιώνα.

[10] ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.

[10] Από την προσωπικήν μας πείραν εγνωρίσαμεν, ω Θεέ μας, το έλεός σου, να πραγματοποιή θαυμαστά έργα εν μέσω του λαού σου.

[11] κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου.

[11] Οπως το όνομά σου, ω Θεέ, είναι μέγα και φοβερόν, έτσι πρέπει και η δοξολογία σου κατά παρόμοιον τρόπον να ακουσθή έως εις τα πέρατα της γης. Η παντοδύναμος δεξιά σου είναι γεμάτη από δικαίας αμοιβάς αλλά και δικαίας τιμωρίας.

[12] εὐφρανθήτω τὸ ὄρος Σιών,

[12] Ας ευφρανθή, λοιπόν, ο λόφος Σιών δια την

ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς ᾽Ιουδαίας ἕνεκεν κριμάτων σου, Κύριε.

προστασίαν, που απολαμβάνει εκ μέρους σου. Ας πλημμυρίσουν, Κυριε, από χαράν και αγαλλίασιν αι πόλεις της Ιουδαίας δια τας δικαίας αυτάς επί των λαών κρίσεις και αποφάσεις σου.

[13] κυκλώσατε Σιὼν καὶ περιλάβετε αὐτήν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς,

[13] Σεις δε οι κάτοικοι της Ιερουσαλήμ περιτριγυρίσατε με χαράν την πόλιν σας, κυττάξατέ την και μετρήσατε ένα προς ένα τους πύργους, οι οποίοι με την δύναμιν του Θεού διεφυλάχθησαν ακέραιοι και σώοι.

[14] θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.

[14] Αναλογισθήτε την δύναμίν της και κατανοήσατε, πόσον είναι ισχυρά. Περιεργασθήτε με ακόμη μεγαλυτέραν προσοχήν ένα προς ένα τους υπερηφάνους πύργους των θησαυρών, δια να διηγηθήτε αυτά και εις την άλλην γενεάν, η οποία και θα σας διαδεχθή·

[15] ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

[15] να διηγηθήτε ότι ο Θεός μας είναι εκείνος, ο οποίος έστειλε την σωτηρίαν μας. Ο Θεός μας, ο ζων στους αιώνας των αιώνων, αυτός θα μας προστατεύη και θα μας καθοδηγή δια παντός.

48

Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ ψαλμός.

[2] (Μασ. 49) ΑΚΟΥΣΑΤΕ ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην,

[2] (Μασ. 49) Ολα τα έθνη αυτά τα οποία θα σας πω. Ανοίξατε τα αυτιά σας και ακροασθήτε με προσοχήν όλοι οι κάτοικοι της γης,

[3] οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.

[3] οι εντόπιοι κάθε περιοχής και οι άλλοι άνθρωποι, όλοι μαζή πλούσιοι και πτωχοί.

[4] τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·

[4] Το στόμα μου θα λαλήση σοφίαν, βαθειά και εμπεριστατωμένη μελέτη της καρδίας και του νου μου θα εκφρασθή με λόγους γεμάτους σύνεσιν.

[5] κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

[5] Εγώ ο ίδιος θα κλίνω το αυτί μου εις τας αληθείας, τας οποίας το Πνεύμα του Θεού υπό μορφήν παραβολής μου εμπνέει. Με την μουσικήν αρμονίαν του ψαλτηρίου θα εκθέσω το σκοτεινόν και δύσκολον πρόβλημα, που θα διαπραγματευθώ.

[6] ἱνατί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

[6] Διατί να φοβούμαι κατά τας ημέρας των δοκιμασιών και των κινδύνων; Μονον η ιδική μου αμαρτία και ο κακός τρόπος της ζωής μου ημπορεί να με βλάψη, αλλά δεν μου καταμαρτυρεί κάτι τέτοιο η συνείδησίς μου.

[7] οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι,

[7] Αλλοι είναι, που ζητούν την εξοντωσίν μου· εκείνοι που έχουν πεποίθησιν εις την δύναμίν των, αυτοί που καυχώνται δια τον πολύν αυτών πλούτον.

[8] ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ

[8] Θα αντικρύησουν όμως και αυτοί τον θάνατον, από τον οποίον ούτε ο στοργικώτερος αδελφός δεν ημπορεί να τους σώση. Πως λοιπόν είναι δυνατόν να τους γλυτώση ο οποιοσδήποτε ξένος άνθρωπος; Κανείς δεν ημπορεί να προσφέρη προς τον Θεόν

εξιλεωτικήν προσφοράν, δια να διαφύγη τον θάνατον·

[9] καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα
[9] να προσφέρη τίμημα, δια να εξαγοράση την ζωήν του από τον θάνατον, έστω και αν εκοπίασεν εις όλην του την ζωήν, ώστε να θησαυρίση πολλά χρήματα,
[10] καὶ ζήσεται εἰς τέλος· οὐκ ὄψεται καταφθοράν,
[10] δια να ζήση παντοτεινά ευτυχής μέχρι τέλους. Ο ασεβής δεν θα θελήση να ίδη και να εννοήση την φθοράν του ανθρώπου δια του θανάτου,

[11] ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν,
[11] έστω και αν βλέπη και αυτούς ακόμη τους σοφούς να αποθνήσκουν. Κατά τον ίδιον τρόπον, ο άφρων ασεβής και ο ανόητος αμαρτωλός θα αποθάνουν και θα αφήσουν τα πλούτη των εις τα χέρια ξένων.
[12] καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν. ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.
[12] Οι τάφοι των θα είναι αι παντοτειναί κατοικίαι των. Αυτή θα είναι η κατασκήνωσίς των, εις την οποίαν θα μένουν εις όλας τας γενεάς. Κατέγραψαν ανοήτως επ' ονόματί των τα κτήματα και τα οικόπεδά των νομίζοντες ότι έτσι θα τα κατέχουν αιωνίως.
[13] καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.
[13] Ταλαίπωρος άνθρωπος! Ενῷ έχει τιμήν και αξίαν, ως λογικόν δημιούργημα του Θεού, δεν κατενόησε τούτο. Αλλά ήλθε και ετάχθη εις την θέσιν των ανοήτων κτηνών, έγινεν όμοιος με αυτά κατά την ανοησίαν και την ζωήν.

[14] αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι. (διάψαλμα).
[14] Αυτός είναι ο τρόπος της ζωής των αμαρτωλών, που τους εξομοιώνει με τα κτήνη και γίνεται εις αυτούς πρόσκομμα δια την αρετήν και αιτία της καταστροφής των. Και παρ' όλα αυτά, αφού αυτοί αποθάνουν, παρουσιάζονται άλλοι ασεβείς, οι οποίοι τους επαινούν με τα λόγια των, εγκρίνουν την διαγωγήν και την ζωήν των και θέλουν να τους μιμηθούν.

[15] ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς· καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν.
[15] Σαν πρόβατα προς σφαγήν τους έρριψεν ο Θεός στον άδην. Ο θάνατος ως άλλος κακός ποιμήν θα τους οδηγή εκεί. Εξ άλλου πολύ σύντομα οι προς το παρόν αφανείς και πτωχοί δίκαιοι θα αναδειχθούν υπέρτεροί των και κύριοί των και η βοήθεια, την οποίαν εκείνοι αντλούσαν από τα πλούτη των, θα αποδειχθή εντελώς άχρηστος μέσα στον άδην. Από την επίγειον δόξαν και μεγαλοπρέπειάν των εξεδιώχθησαν και απεγυμνώθησαν.

[16] πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. (διάψαλμα).
[16] Αλλά ως προς εμέ, ο Θεός θα ελευθερώση την ψυχήν μου από την εξουσίαν του άδου, όταν θα με παραλάβη από την παρούσαν ζωήν.
[17] μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ·
[17] Μη καταπλήσσεσαι, λοιπόν, και μη ταράσσεσαι ψυχικώς, όταν ο ασεβής άνθρωπος πλουτίζη, δταν μεγαλώνη η δόξα του οίκου του.
[18] ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.
[18] Διότι, όταν θα αποθάνη, τίποτε δεν θα πάρη μαζή του από τα πλούτη του, ούτε η δόξα του θα κατεβή μαζή με αυτόν στον άδην.

[19] ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ
[19] Εφ' όσον βέβαια ζη τον παρόντα επιγειον βίον, θα

αὐτοῦ εὐλογηθήσεται· ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.
[20] εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

[21] καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

επαινήται από τους κόλακας, αυτός δε ο ίδιος θα επαινέση και σέ, όταν θα εκτραπής εις κολακείας και επαίνους προς αυτόν.
[20] Θα αποθάνη όμως και θα μεταβή να συναντήση τους προγόνους του. Ποτέ πλέον δεν θα ίδη το φως του ηλίου.
[21] Ταλαίπωρος άνθρωπος! Ενῷ έχει πάρει από τον Θεόν την ανυπολόγιστον τιμήν της λογικής του φύσεως, δεν εσυνετίσθη, αλλά έταξε τον εαυτόν του εις την θέσιν των ανοήτων κτηνών, έγινε όμοιος με αυτά κατά τον τρόπον της ζωής και τα ένστικτα.

49

Ψαλμὸς τῷ ᾿Ασάφ.
[1] (Μασ. 50) ΘΕΟΣ θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.

[2] ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ,

[3] ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.
[4] προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ·
[5] συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις,

[6] καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστι. (διάψαλμα).
[7] ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, ᾿Ισραήλ, καὶ διαμαρτύρομαί σοι· ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ.

[8] οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός.
[9] οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.
[10] ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ

[1] (Μασ. 50) Ο αιώνιος και απειροτέλειος Θεός, ο Κυριος όλων των καττά χάριν Θεών, των αρχόντων και δικαστών της γης, προσκαλεί όλην την οικουμένην από ανατολών μέχρι δυσμών.
[2] Ακτινοβολείται από την Σιών η ασύλληπτος λαμπρότης και ωραιότης της απείρου τελειότητός του.
[3] Ο Κυριος έρχεται ολοφάνερα με το μεγαλείον της δόξης του. Δεν θα τηρήση πλέον σιωπήν. Καυστικόν πυρ προπορεύεται έμπροσθέν του. Και καταιγίς μεγάλη εκσπά ολόγυρά του.
[4] Προσκαλεί ως μάρτυρας τον ουρανόν άνω και την γην κάτω, προκειμένου να στήση δικαστήριον και να δικάση τον λαόν του.
[5] Σεις οι άγγελοι συναθροίσατε, λοιπόν, ενώπιόν του τους αγίους του, τους εκλεκτούς Ισραηλίτας, οι οποίοι έδειξαν την αγαθήν διάθεσίν των με τας ευλαβείς θυσίας τότε, που εδέχθησαν την διαθήκην του στο όρος Σινά.
[6] Οι ουρανοί θα καταθέσουν ως μάρτυρες δια την δικαιοσύνην του, διότι αυτός είναι τώρα ο υπέρτατος δικαστής.
[7] Ο Κυριος ομιλεί. Ακουσε, λαέ μου, διότι θα ομιλήσω προς σέ, ισραηλιτικέ λαέ· δώσε προσοχήν, διότι θα διαμαρτυρηθώ εντόνως προς σέ. Εγώ, που ομιλώ, είμαι ο Θεός όλου του κόσμου και ιδιαιτέρως ο ιδικός σου Θεός.
[8] Δεν θα σε ελέγξω δια τας διαφόρους θυσίας σου. Τα ολοκαυτώματά σου, που προσφέρονται προς εμέ, ευρίσκονται πάντοτε ενώπιόν μου.
[9] Αλλά δεν έχω ανάγκην να δεχθώ μόσχους από τον οίκον σου και τράγους από τα κοπάδια σου.

[10] Διότι όλα τα άγρια θηρία των δασών είναι ιδικά μου, όπως και τα κατοικίδια ζώα, τα οποία βόσκουν

βόες·
11 ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ ἐστιν.

12 ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.
13 μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;
14 θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου·
15 καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. (διάψαλμα).
16 τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνατί σὺ διηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;
17 σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.
18 εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.
19 τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητα·
20 καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.

21 ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.

22 σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ρυόμενος.

23 θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

εις τα όρη, και οι βόες, όλα είναι ιδικά μου.
11 Εγώ γνωρίζω πολύ καλά τα πάντα. Είμαι ο Κυριος επί των πτηνών του ουρανού και η ωραία πολύχρωμος βλάστησις του αγρού ευρίσκεται πάντοτε εις την κυριότητά μου.
12 Εάν θα πεινάσω, δεν πρόκειται να σου είπω να μου δώσης φαγητόν, διότι ιδική μου είναι όλη η γη και όλα εκείνα, από τα οποία αυτή είναι γεμάτη.
13 Μηπως έχω εγώ ανάγκην να φάγω κρέατα ταύρων και να πίω αίμα τράγων; Οχι βέβαια.
14 Δι' αυτό συ πρόσφερε στον Θεόν σου ως θυσίαν την δοξολογίαν και εκπλήρωσε όλα τα τάματα, που έχεις τάξει προς αυτόν.
15 Επικάλεσαί με εις περίοδον θλίψεως και εγώ θα σε απαλλάξω από αυτήν και συ ευγνωμονών θα με δοξολογήσης.
16 Εις δε τον αμαρτωλόν είπεν ο Θεός· Διατί συ τολμάς και διηγείσαι τους νόμους και τας εντολάς μου και παίρνεις στο αμαρτωλόν στόμα σου την διαθήκην μου, την οποίαν συ καταπατείς;
17 Συ εμίσησες την διορθωτικήν παιδαγωγίαν μου και πετάς προς τα οπίσω με περιφρόνησιν τους λόγους μου.
18 Εάν έβλεπες κλέπτην έτρεχες και συ μαζή του ως συνεργός του· συμμετείχες δε εις τας αθλιότητας των μοιχών.
19 Το στόμα σου είναι απύλωτον εις πλήθος κακιών, η δε γλώσσα σου εξυφαίνει πάντοτε δολιότητας.

20 Καθήμενος αργός κατηγορούσες και δυσφημούσες τον αδελφόν σου και εναντίον του υιού της μητρός σου, εναντίον του αδελφού σου, έστηνες παγίδας και έθετες προσκόμματα, δια να σκοντάψη και πέση.
21 Αυτά έπραξες και εγώ έδειξα μακροθυμίαν και εσιώπησα. Ενόμισες όμως παραλόγως και παρανόμως, ότι θα είμαι όμοιος με σέ. Θα έλθη όμως η στιγμή, οπότε θα σε ελέγξω και θα φανερώσω ενώπιόν σου και ενώπιον των άλλων τας αμαρτίας σου, δια να σε εξευτελίσω.
22 Εννοήσατε, λοιπόν, όλα αυτά όσοι λησμονείτε τον Θεόν, μήπως και σας αρπάση εις τας χείρας της η θεία δικαιοσύνη, οπότε δεν θα υπάρχη κανείς να σας γλυτώση.
23 Θυσία δοξολογίας από αγνήν καρδίαν αρκεί να με δοξάση πράγματι· και αυτός είναι ο ευθύς δρόμος, τον οποίον εγώ θα δείξω εις καθένα, που ποθεί την σωτηριώδη βοήθειάν μου.

50 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ
[2] ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ.
[3] (Μασ. 51) ΕΛΕΗΣΟΝ με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
[4] ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
[5] ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

[6] σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

[7] ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
[8] ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

[9] ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

[10] ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
[11] ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
[12] καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

[13] μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου

[3] (Μασ. 51) Ελέησέ με, ω Θεέ μου, σύμφωνα προς το άπειρον έλεός σου· και σύμφωνα με το απέραντον πλήθος των οικτιρμών σου σβήσε εντελώς την παρανομίαν μου.
[4] Πλύνε με και ξαναπλύνε με από την παρανομίαν μου, και από τον ρύπον της αμαρτίας μου καθάρισέ με.
[5] Το έλεός σου ζητώ, διότι και εγώ αναγνωρίζω και ομολογώ την παρανομίαν μου. Αυτή δε η αμαρτία μου είναι πάντοτε ενώπιόν μου, εις την καρδίαν μου και εις την σκέψιν, δια να με ελέγχη και να με τυραννή.
[6] Ζητώ από σε την συγχώρησιν, διότι αι αμαρτίαι, τας οποίας διέπραξα, είναι παράβασις του ιδικού σου Νομου. Ενώπιόν σου εγώ διέπραξα τυ πονηρόν. Ομολογώ ότι είμαι άξιος τιμωρίας δια τας αμαρτίας μου, δια να φανή έτσι πόσον δίκαιον είχες εις τας εναντίον μου καταδικαστικάς αποφάσεις και να εξέλθης έτσι νικητής, όταν ασεβείς και μωροί θελήσουν να σε επικρίνουν.
[7] Ελέησέ με, διότι από γονείς αμαρτωλούς συνελήφθην και εν μέσω αμαρτιών με εκυοφόρησεν η μητέρα μου.
[8] Θεός της αληθείας συ ηγάπησες και αγαπάς πάντοτε την αλήθειαν και την ευθύτητα. Εφανέρωσες εις εμέ τα άδηλα και τα κρύφια της σοφίας σου, δια να έχω έτσι την δυνατάτητα να προφυλαχθώ από την αμαρτίαν.
[9] Σαν με συμβολικά κλωνάρια υσσώπου θα με ραντίσης με το έλεός σου, και έτσι εγώ θα καθαρισθώ από την αμαρτίαν μου. Θα με πλύνης με την χάριν σου και θα γίνω τόσον καθαρός, ώστε να είμαι λευκώτερος από το χιόνι.
[10] Τοτε θα με κάμης να αισθανθώ αγαλλίασιν και ευφροσύνην, ώστε και αυτά τα συντετριμμένα και παράλυτα οστά μου να σκιρτήσουν από χαράν.
[11] Γυρισε το πρόσωπόν σου μακρυά από τας αμαρτίας μου, ώστε να μη τας βλέπης, και σβήσε ολες τις παρανομίες μου.
[12] Πλάσε μέσα μου και κτίσε νέαν καρδίαν καθαράν, Θεέ μου, δια να ενθρονίσης και εγκαινιάσης εις τα βάθη της ψυχής μου πνεύμα αληθείας, πνεύμα ορθοφροσύνης.
[13] Μη με απομακρύνης και μη με απορρίψης από το γεμάτον καλωσύνην πρόσωπόν σου και το Αγιόν σου

τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
14 ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

15 διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

16 ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
17 Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
18 ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

19 θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

20 ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη ῾Ιερουσαλήμ·

21 τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Πνεύμα μη το αφαιρέσης από εμέ.
14 Ξαναδός μου την χαράν και αγαλλίασιν της σωτηρίας μου, που προέρχεται από σέ, και στήριξέ με με σταθεράν και άκαμπτον θέλησιν στο αγαθόν, στον άγιον Νομον σου.
15 Ετσι δε εξηγνισμένος και φωτισμένος εγώ θα διδάξω εις πολλούς παρανομούντας τους ιδικούς σου δρόμους, τον Νομον σου. Με το παράδειγμά μου δε και με τα λόγια μου θα συντελέσω, ώστε πολλοί ασεβείς να επιστρέψουν εν μετάνοια προς σέ, όπως επέστρεψα και εγώ.
16 Απάλλαξέ με, Κυριε, από την ενοχήν των αθώων αιμάτων, που εχύθησαν εξ αιτίας μου, Θεέ και Κυριε της σωτηρίας μου. Η γλώσσα γεμάτη χαράν θα διαλαλή την δικαιοσύνην και την αγαθότητά σου.
17 Ναι, Κυριε, θα ανοίξης συ τα χείλη μου και το στόμα μου με παρρησίαν και θάρρος και θα αναπέμπη αίνους και δοξολογίας προς σέ.
18 Δοξολογίας ολοθέρμους θα σου αναπέμπω, Κυριε, διότι εάν ήθελες και κάποιαν θυσίαν δια την άφεσιν των αμαρτιών μου, θα σου την προσέφερα. Συ όμως δεν ευαρεστείσαι τόσον εις τα ολοκαυτώματα των θυσιών.
19 Η ευάρεστος θυσία δια σε τον Θεόν είναι ψυχή συντετριμμένη από τον πόνον και την συναίσθησιν της αμαρτίας. Καρδίαν δε ανθρώπου, η οποία έχει συντριβή από την μετάνοιαν και έχει ταπεινωθή, συ ο πανάγαθος και πολυέλεος Θεός ουδέποτε θα την εξουθενώσης.
20 Ευδόκησον, λοιπόν, Κυριε, να φανής αγαθός και ευεργετικός εις την Ιερουσαλήμ. Δείξε την καλωσύνην σου, ώστε να ανοικοδομηθούν και πάλιν τα τείχη της Ιερουσαλήμ.
21 Τοτε θα ευδοκήσης να δεχθής κάθε θυσίαν, η οποία θα σου προσφέρεται σύμφωνα με όσα έχεις διατάξει στον Νομον σου, θυσίας αναφερομένας εις σέ, θυσίας ολοκαυτωμάτων. Τοτε θα ανεβάσουν στο θυσιαστήριον των ολοκαυτωμάτων σου μόσχους προς θυσίαν εις έκφρασιν ευγνωμοσύνης και δοξολογίας προς σέ.

51

Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυῒδ·
2 ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν ᾽Ιδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαυῒδ εἰς τὸν οἶκον ᾽Αβιμέλεχ.
3 (Μασ. 52) ΤΙ ΕΓΚΑΥΧΑ ἐν

3 (Μασ. 52) Διατί αλαζονεύεσαι δια την κακίαν σου

κακίᾳ, ὁ δυνατός, ἀνομίαν ὅλην τὴν ἡμέραν;

[4] ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

[5] ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. (διάψαλμα).
[6] ἠγάπησας πάντα τὰ ρήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.

[7] διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου καὶ τὸ ρίζωμά σου ἐκ γῆς ζώντων. (διάψαλμα).

[8] ὄψονται δίκαιοι καὶ φοβηθήσονται καὶ ἐπ᾽ αὐτὸν γελάσονται καὶ ἐροῦσιν·

[9] ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ᾽ ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
[10] ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
[11] ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

σου, ω δυνατέ, ώστε να διαπράττης ανομίας με θρασύτητα και να παραβαίνης όλην την ημέραν τον νόμον του Θεού;
[4] Αδίκους λογισμούς της καρδίας σου ελάλησε το απύλωτον στόμα σου· ώσαν με ξυράφι ακονισμένον δια της γλώσσης σου ειργάσθης δολίως προς καταστροφήν του πλησίον.
[5] Ηγάπησες την κακίαν και όχι την αγαθότητα. Επροτίμησες την δολιότητα και συκοφαντίαν από του να λαλής την αλήθειαν και την δικαιοσύνην.
[6] Επροτίμησες να λέγης λόγους, οι οποίοι φέρουν καταποντισμόν και όλεθρον, και να έχης γλώσσαν δολίαν και συκοφαντικήν εναντίον των άλλων.
[7] Δια τούτο ο Θεός θα σε κατακρημνίση, θα σε ξερριζώση εντελώς, θα σε μαδήση και θα σε γυμνώση από όλα όσα έχεις. Θα σε εκδιώξη και θα σε εξορίση από την πατρίδα σου, και αυτάς ακόμη τας ρίζας των απογόνων σου θα εξαφανίση εκ μέσου των ζώντων.
[8] Θα ίδουν οι δίκαιοι την δικαίαν εκ μέρους του Θεού τιμωρίαν σου και θα φοβηθούν. Κατόπιν όμως θα γελάσουν με ικανοποίησιν και χαράν, διότι απεδόθη η πρέπουσα δικαιοσύνη και θα είπουν·
[9] Ιδού ο άνθρωπος αυτός, ο οποίος δεν ηθέλησε τον Θεόν ως συμπαραστάτην και βοηθόν του, αλλά ήλπισεν στον πολύν πλούτον του. Εστήριξε και εμεγάλωσε την δύναμίν του επί ματαίων και εφημέρων πραγμάτων.
[10] Εγώ όμως αντιθέτως θα είμαι μέσα στον οίκον του Κυρίου, όπως η κατάκαρπος ελαία. Εγώ εστήριξα τας ελπίδας μου στο έλεος του Θεού μου πάντοτε, στους αιώνας των αιώνων.
[11] Κυριε, σε δοξολογώ και θα σε δοξολογώ πάντοτε, διότι έκαμες και θα κάμης δεκτά τα αιτήματά μου. Εις κάθε δε δυσκολίαν της ζωής μου θα περιμένω την ιδικήν σου επέμβασιν, διότι αυτή είναι πάντοτε αγαθοποιός και ευεργετική στους αφωσιωμένους προς σέ.

52

Εἰς τὸ τέλος, ὑπὲρ μαελέθ· συνέσεως τῷ Δαυΐδ.
[2] (Μασ. 53) ΕΙΠΕΝ ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν.

[2] (Μασ. 53) Σκοτισμένος μέχρις αφροσύνης από τας πολλάς του αμαρτίας ο ασεβής λέγει από μέσα του· Δεν υπάρχει Θεός. Αυτός και οι όμοιοί του διεφθάρησαν από την κακίαν των. Εγιναν αηδιαστικοί και συχαμεροί με τας παρανομίας των. Κανείς από αυτούς δεν σκέπτεται και δεν πράττει το αγαθόν.

[3] ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν.
[4] πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.

[5] οὐχί γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν Κύριον οὐκ ἐπεκαλέσαντο.

[6] ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος, ὅτι ὁ Θεὸς διεσπόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

[7] τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ ᾽Ισραήλ; ἐν τῷ ἀποστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται ᾽Ιακὼβ καὶ εὐφρανθήσεται ᾽Ισραήλ.

[3] Ο Θεός έσκυψεν από τον ουρανόν, δια να ίδη τους υιούς των ανθρώπων· εάν υπάρχη κανείς μεταξύ αυτών, που να έχη σύνεσιν και γνώσιν Θεού η να αναζητή και να προσεύχεται προς τον Θεόν.
[4] Είδεν ότι όλοι έχουν παρεκκλίνει από την ορθήν οδόν. Εγιναν διεφθαρμένοι και αχρείοι. Δεν υπάρχει κανείς, που να ζητή το αγαθόν, δεν υπάρχει ούτε ενας.
[5] Δεν θα βάλουν επί τέλους ποτέ γνώσιν και δεν θα συνετισθούν όλοι αυτοί, οι οποίοι διαπράττουν τας παρανομίας; Αυτοί, οι οποίοι κατατρώγουν τον λαόν μου με τόσην ευκολίαν και χαράν, με όσην τρώγουν το ψωμί των, ουδέποτε εστράφησαν προς τον Θεόν, ουδέποτε επεκαλέσθησαν τον Κυριον.
[6] Αυτοί εφοβήθησαν και επανικοβλήθησαν εκεί, όπου δεν υπήρχε φόβος. Συνετρίβησαν, διότι, ο Θεός συνέτριψε και διεσκόρπισε τα οστά των ανθρώπων εκείνων, που θέλουν να αρέσουν στους άλλους και όχι στον Θεόν. Αυτοί κατεξητελίσθησαν, διότι ο Θεός τους εξουθένωσε.
[7] Ποίος άλλος εκτός από τον Κυριον ζεκινών από την Ιερουσαλήμ θα προσφέρη σωτηρίαν και ασφάλειαν στον ισραηλιτικόν λαόν; Κανείς άλλος, παρά ο Θεός. Οταν ο Κυριος επαναφέρη τους εξορίστους του λαού του από την αιχμαλωσίαν, θα πλημμυρίσουν από αγαλλίασιν οι απόγονοι του Ιακώβ, θα ευφρανθούν αι καρδίαι των Ισραηλιτών.

53

Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυΐδ
[2] ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ· οὐκ ἰδοὺ Δαυΐδ κέκρυπται παρ᾽ ἡμῖν;
[3] (Μασ. 54) Ο ΘΕΟΣ, ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με.

[4] ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ρήματα τοῦ στόματός μου.
[5] ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ᾽ ἐμὲ καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. (διάψαλμα).
[6] ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

[3] (Μασ. 54) Θεέ μου, συ που το όνομά σου είναι ευσπλαγχνία και αγαθότης, σώσε με και με την παντοδύναμον δικαιοσύνην σου κρίνε την υπόθεσίν μου.
[4] Ω Κυριε, άκουσε και κάμε δεκτήν την προσευχήν μου. Βαλε εις τα αυτιά σου τα λόγια του στόματός μου.
[5] Διότι ιδού, άνθρωποι ξένοι και εχθροί προς εμέ επανεστάτησαν εναντίον μου, και ισχυροί επεδίωξαν να αφαιρέσουν την ζωήν μου και δεν έλαβον υπ' όψιν των τον δίκαιον Θεόν.
[6] Αυτοί με ενόμισαν εγκαταλελειμμένον από σέ. Ηπατήθησαν όμως, διότι ιδού, ο Θεός απ' αρχής και μέχρι σήμερον με βοηθεί. Ο Κυριος απ' αρχής και μέχρι τώρα είναι ο υπερασπιστής και προστάτης της

ζωής μου.

[7] ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

[7] Αυτός και τα κακά της παρούσης περιόδου θα τα επιστρέψη και θα τα ρίψη επάνω εις τας κεφαλάς των εχθρών μου. Συ, Κυριε, ως αξιόπιστος, που είσαι εις τας υποσχέσεις σου, εξολόθρευσε τους εχθρούς μου.

[8] ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν·

[8] Εγώ δε με όλην μου την θέλησιν και την καρδίαν θα προσφέρω εις σε την θυσίαν μου και με ευγνωμοσύνην θα σε δοξολογήσω, διότι είσαι πανάγαθος.

[9] ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

[9] Διότι και στο παρελθόν με εγλύτωσες από κάθε θλίψιν, τα δε μάτια μου είδον τον εξευτελισμόν των εχθρών μου. Πιστεύω ότι αυτό θα γίνη και τώρα, Κυριε.

54

Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυΐδ.

[2] (Μασ. 55) ΕΝΩΤΙΣΑΙ, ὁ Θεός, τὴν προσευχήν μου καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου,

[2] (Μασ. 55) Ακουσε, ω Θεέ μου, την προσευχήν μου, μη καταφρόνησης την δέησίν μου.

[3] πρόσχες μοι καὶ εἰσάκουσόν μου. ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην

[3] Δώσε εις εμέ προσοχήν και άκουσέ με. Η συνεχής σκέψις και μελέτη της θλιβεράς μου καταστάσεως με έχει γεμίσει, από λύπην.

[4] ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ, ὅτι ἐξέκλιναν ἐπ᾽ ἐμὲ ἀνομίαν καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

[4] Συνεκλονίσθην και εταράχθην από τας απειλητικάς κραυγάς των εχθρών μου, από την κατάθλιψιν και καταπίεσιν, που οι αμαρτωλοί ασκούν εναντίον μου. Διότι αυτοί έρριψαν και επεσώρευσαν εναντίον μου κάθε παρανομίαν των και κυριευμένοι από μοχθηράν οργήν έτρεφαν και τρέφουν φοβερόν μίσος εναντίον μου.

[5] ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ᾽ ἐμέ·

[5] Η καρδία μου συνεταράχθη εντός μου. Ανίκητος φόβος θανάτου έπεσεν επάνω μου.

[6] φόβος καὶ τρόμος ἦλθεν ἐπ᾽ ἐμέ, καὶ ἐκάλυψέ με σκότος.

[6] Φοβος και τρόμος επλημμύρισε το εσωτερικόν μου και σκοτάδι αθυμίας και απογοητεύσεως με εσκέπασεν ολόκληρον.

[7] καὶ εἶπα· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω;

[7] Και είπα από μέσα μου· ποιός ημπορεί να μου δώση πτέρυγας ώσαν αυτάς της αγρίας περιστεράς, δια να πετάξω ταχέως και να φύγω αμέσως εις τόπον ήσυχον και ασφαλή;

[8] ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. (διάψαλμα).

[8] Ιδού, εάν είχα τέτοιες πτέρυγες, θα απεμακρυνόμην από τον τόπον αυτόν, θα έφευγα· θα κατοικούσα εις ένα έρημον και ήσυχον τόπον.

[9] προσεδεχόμην τὸν σῴζοντά με, ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος.

[9] Εκεί θα επερίμενα τον σωτήρα και Θεόν μου, δια να με απαλλάξη από την λιποψυχίαν μου αυτήν και από την μαινομένην εναντίον μου καταιγίδα των εχθρών μου.

[10] καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι

[10] Καταπόντισέ τους και εξαφάνισέ τους, Κυριε, εις τα βάθη της θαλάσσης. Φέρε σύγχυσιν και

εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

αντιλογίαν εις τας γλώσσας των, διότι εγώ είδα ότι εξ αιτίας των εις την Ιερουσαλήμ υπάρχουν παρανομίαι, φιλονεικίαι και διαπληκτισμοί.

11 ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς

11 Ημέραν και νύκτα μαίνεται η παρανομία γύρω από τα τείχη της Ιερουσαλήμ. Εντός δε της πόλεως επικρατεί τέτοια καταπίεσις και μόχθος και παρανομία

12 καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

12 και αδικία, ώστε και εις αυτάς τας δημοσίας πλατείας δεν έλειψεν ο παράνομος τόκος και η δολιότης, αλλά διενεργείται με θρασύτητα.

13 ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν ἐπ᾽ ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ᾽ αὐτοῦ.

13 Η κατάθλιψίς μου είναι πολύ μεγάλη, διότι εάν επί τέλους ένας από τους εχθρούς μου με ύβριζε, θα υπέφερα με υπομονήν την ύβριν. Και αν άνθρωπος, ο οποίος με μισεί, εξανίστατο με θρασύτητα εναντίον μου και εκομπορρημονούσε, εγώ θα εκρυπτόμην από αυτόν.

14 σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου,

14 Αυτοί είναι εχθροί μου. Συ όμως, ω άνθρωπε, τον οποίον εθεωρούσα και αγαπούσα ωσάν τον εαυτόν μου, άρχοντά μου και σύμβουλέ μου, φίλε μου και γνωστέ μου,

15 ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθην ἐν ὁμονοίᾳ.

15 συ ο οποίος συνέτρωγες μαζή μου και με την παρουσίαν σου εγλύκαινες τα φαγητά μου, συ με τον οποίον ανέβαινα στον οίκον του Θεού με τόσην αγάπτην και ομόνοιαν, έπραξες αυτό;

16 ἐλθέτω δὴ θάνατος ἐπ᾽ αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν.

16 Ας πέση, λοιπόν, εναντίον αυτών ο θάνατος. Ας ανοίξη ο άδης το στόμα του και ας καταβούν, και αυτοί και ο προδότης, ζωντανοί στον τάφον. Διότι μόνον πονηρία και κακία υπάρχει ανάμεσά των και εις τας κατοικίας των.

17 ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

17 Εγώ όμως προς τον Θεόν με πίστιν έκραξα και ο Κυριος ήκουσε την προσευχήν μου.

18 ἑσπέρας καὶ πρωΐ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.

18 Την εσπέραν και το πρωϊ και την μεσημβρίαν, καθ' όλην την ημέραν, εγώ θα διηγούμαι προς τον Κυριον τας συμφοράς μου. Θα αναγγέλλω εις αυτόν την θλιβεράν κατάστασίν μου με την προσευχήν μου και πιστεύω ότι θα προσέξη την φωνήν μου.

19 λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

19 Πιστεύω δε απολύτως, ότι ο Θεός θα απαλλάξη την ζωήν μου από τους ανθρώπους αυτούς, οι οποίοι με πλησιάζουν με εχθρικάς διαθέσεις, όσον πολλοί και αν είναι εναντίον μου και θα μου χαρίση ειρήνην και ασφάλειαν.

20 εἰσακούσεται ὁ Θεὸς καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. (διάψαλμα). οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν.

20 Ο Θεός θα ακούση με ευμένειαν την δέησίν μου. Αυτός ο προαιώνιος Κυριος, θα κατεξευτελίση τους εχθρούς μου, θα τους ταπεινώση, διότι καμμία αλλαγή και μεταβολή προς το καλύτερον δεν υπάρχει εις αυτούς. Καμμία διόρθωσις δεν παρατηρείται, διότι δεν εφοβήθησαν ούτε και φοβούνται τον Κυριον.

21 ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· ἐβεβήλωσαν τὴν

21 Ο Κυριος άπλωσε την παντοδύναμον δεξιάν του, δια να αποδώση εις αυτούς την δικαίαν τιμωρίαν,

διαθήκην αὐτοῦ.

διότι κατεφρόνησαν και κατεπάτησαν αναιδώς την διαθήκην του.

22 διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν· ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

22 Εξέσπασεν όμως η οργή του προσώπου του Κυρίου εναντίον των. Διεμελίσθησαν και εξεσχίσθησαν εις κομμάτια εκείνοι, των οποίων η καρδία είχεν ενωθή εις συνωμοσίαν εναντίον μου. Οι λόγοι του αρχηγού των και προδότου ήσαν γλυκείς, απαλοί περισσότερον από το έλαιον. Εις την πραγματικότητα όμως ήσαν φαρμακερά βέλη.

23 ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.

23 Ριψε, ω ψυχή μου, την φροντίδα σου και την μέριμνάν σου δια την σωτηρίαν και ασφάλειάν σου στον Κυριον και αυτός θα σε διαθρέψη και θα συντηρήση την ζωήν σου. Αυτός δεν θα επιτρέψη να επιπέση στον δίκαιον αδιάκοπος και συνεχής ταραχή σαν τα κύματα της τρικυμισμένης θαλάσσης. Αλλά θα δώση αισίαν έκβασιν εις την περιπέτειάν του.

24 σὺ δέ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, ἐγὼ δέ, Κύριε, ἐλπιῶ ἐπὶ σέ.

24 Συ δέ, ω Θεέ μου, θα κατακρημνίσης και θα καταθάψης τους δολίους εχθρούς μου εις φρέαρ καταστροφής και αφανισμού. Ανθρωποι, που χύνουν αίματα αθώων και σκέπτονται

55 Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαυΐδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.

2 (Μασ. 56) ΕΛΕΗΣΟΝ με, ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.

2 (Μασ. 56) Ελέησέ με, ω Θεέ μου, διότι, άνθρωπος με εποδοπάτησε κάτω στο χώμα, σαν να είμαι σκουλήκι. Ολας τας ημέρας με κατέθλιψε με τον πόλεμον, που εξήγειρεν εναντίον μου.

3 κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντες με ἀπὸ ὕψους.

3 Με καταπατούν οι εχθροί μου όλας τας ημέρας, διότι οι πολεμούντες με είναι ισχυροί, και με πολεμούν από υψηλόν, ασφαλές και απρόσβλητον μέρος.

4 ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.

4 Εγώ όμως όλας αυτάς τας ημέρας του πολέμου των δεν τους φοβούμαι, διότι εις σε έχω στηρίξει τας ελπίδας μου.

5 ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.

5 Με την βοήθειαν του Θεού μου οι λόγοι αυτοί θα αποδειχθούν πραγματικώς έπαινός μου. Εις τον Θεόν μου εστήριξα τας ελπίδας μου. Δεν θα φοβηθώ, τι θα σκεφθή και θα πράξη εναντίον μου φθαρτή ανθρωπίνη σαρξ.

6 ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ᾽ ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

6 Ολην την ημέραν εκείνοι αηδίαζαν και απεστρέφοντο τους λόγους μου. Αι δε σκέψεις και αι αποφάσεις των εστρέφοντο εναντίον μου, δια να μου κάμουν κακόν.

7 παροικήσουσι καὶ κατακρύψουσιν·

7 Συναθροίζονται εις συνωμοσίαν, παραμονεύουν,

αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι, καθάπερ ὑπέμειναν τῇ ψυχῇ μου.

προσπαθούν να κρύψουν τα πονηρά των σχέδια. Αυτοί παρακολουθούν τα ίχνη μου, όπως οι κυνηγοί τα ίχνη των θηραμάτων, δια να με εξοντώσουν, με την ιδίαν επιμονήν, με όσην εγώ επιμένω και επιζητώ την σωτηρίαν μου από σέ.

[8] ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς, ἐν ὀργῇ λαοὺς κατάξεις. ὁ Θεός,

[8] Μηδενικά και αρνητικά στοιχεία είναι εις την ζωήν των. Συ, λοιπόν, θα τους σώσης; Οχι βέβαια. Αλλά και λαούς ακόμη ολοκλήρους θα οδηγήσης στον άδην, ω Θεέ μου, εν τη δικαία σου οργή.

[9] τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.

[9] Σου εξέθεσα, Κυριε, ολόκληρον την πολυβασανισμένην μου ζωήν. Συ δε έλαβες υπ' όψιν σου τα δάκρυά μου, σύμφωνα και με την υπόσχεσίν σου.

[10] ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ.

[10] Οι εχθροί μου πανικόβλητοι θα τραπούν εις φυγήν εις ημέραν, κατά την οποίαν εγώ θα επικαλεσθώ την βοήθειάν σου. Ιδού, εγνώρισα και επείσθην μέχρι σήμερον, ότι συ είσαι ο Θεός μου.

[11] ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον.

[11] Εις δόξαν του Θεού μου θα μελοποιήσω τον ύμνον μου. Θα ψάλλω προς τον Κυριον εκτενή δοξολογίαν.

[12] ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

[12] Εις τον Θεόν μου ήλπισα και δεν έχω να φοβηθώ, τι σκέπτεται να μου κάμη ο οιοσδήποτε άνθρωπος.

[13] ἐν ἐμοί, ὁ Θεός, εὐχαί, ἃς ἀποδώσω αἰνέσεώς σου,

[13] Εχω κάμει, Κυριε, τάματα, τα οποία με όλην μου την καρδίαν και δοξάζων το άγιον Ονομά σου θα εκπληρώσω,

[14] ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος· εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων.

[14] διότι συ εγλύτωσες την ζωήν μου από βέβαιον θάνατον, διεφυλαξες τους πόδας μου από θανατηφόρον ολίσθημα. Θα πράττω πάντοτε το ευάρεστον ενώπιον του Κυρίου, εφ' όσον ευρίσκομαι υπό το φως του ηλίου εν μέσω των ζώντων ανθρώπων εις την γην.

56

Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυῒδ εἰς στηλογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

[2] (Μασ. 57) ΕΛΕΗΣΟΝ με, ὁ Θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία.

[2] (Μασ. 57) Ελέησέ με, Κυριε και Θεέ μου. Δείξε την ευσπλαγχνίαν σου και το έλεός σου εις εμέ, διότι εγώ εις σε έχω στηρίξει την πεποίθησίν μου και κάτω από την προστατευτικήν σκιαν των παντοδυνάμων πτερύγων σου ελπίζω ότι θα διαφυλαχθώ ασφαλής, έως ότου παρέλθη ο κίνδυνος, τον οποίον οι άνομοι έχουν στήσει εναντίον μου.

[3] κεκράξομαι πρὸς τὸν Θεὸν τὸν Ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με.

[3] Εκραξα και κράζω από τα βάθη της ψυχής μου προς τον Θεόν τον ύψιστον, ο οποίος πολλές φορές έως τώρα με έχει ευεργετήσει.

[4] ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ

[4] Εστειλεν από τον ουρανόν την βοήθειάν του και με

[36] θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· ὁ Θεὸς ᾽Ισραήλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. εὐλογητὸς ὁ Θεός.

[36] Αξιοθαύμαστος είναι ο Θεός δια την προστασίαν, που παρέχει στους αγίους του. Ο Θεός του ισραηλιτικού λαού αυτός θα δώση δύναμιν εις ενίσχυσιν και σωτηρίαν του λαού του. Δοξασμένος ας είναι Κυριος ο Θεός.

68

Εἰς τὸ τέλος· ὑπὲρ τῶν ἀλλοιωθησομένων· τῷ Δαυΐδ.

[2] (Μασ. 69) ΣΩΣΟΝ με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

[2] (Μασ. 69) Σώσε με, ω Θεέ μου. Τα κύματα των θλίψεων κατακλύζουν την ψυχήν μου. Απειλούν και αυτήν ακόμη την ζωήν μου.

[3] ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέ με.

[3] Εχω χωθή εις λάσπην βυθού, κάτω από την οποίαν δεν υπάρχει στερεός πυθμήν. Ομοιάζω ως εάν έχω βυθισθή εις τα βάθη της θαλάσσης, ως εάν φοβερά καταιγίς με κατεπόντισεν στο πέλαγος.

[4] ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

[4] Απέκαμα να φωνάζω προς σε δυνατά. Ο λάρυγξ μου εβράχνιασε, τα μάτια μου, προσηλωμένα προς σε τον Θεόν μου, έχασαν το φως των, διότι έχασαν την ελπίδα βοηθείας.

[5] ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν, ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

[5] Εκείνοι, που με μισούν χωρίς καμμίαν αιτίαν και αφορμήν, επληθύνθησαν περισσότερον από τας τρίχας της κεφαλής μου. Εγιναν πολύ ισχυροί οι εχθροί μου· αυτοί, οι οποίοι με καταδιώκουν αδίκως και αδικαιολογήτως. Με τας διαβολάς και τας συκοφαντίας των επλήρωσα πράγματα, τα οποία εγώ ποτέ δεν είχα αρπάσει.

[6] ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

[6] Συ, ω Θεέ μου, γνωρίζεις τας άλλας απερισκεψίας μου. Και τα πλημμελήματά μου δεν είναι κρυμμένα από τα μάτια σου. Γνωρίζεις όμως επίσης, ότι ποτέ δεν έχασα τον σεβασμόν μου προς σέ.

[7] μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων, μὴ ἐντραπείησαν ἐπ᾽ ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ ᾽Ισραήλ,

[7] Ας μη κατεντροπιασθούν εξ αιτίας μου εκείνοι, οι οποίοι με μεγάλην υπομονήν περιμένουν την προστασίαν σου, ω Κυριε, Κυριε των αγγελικών δυνάμεων του ουρανού. Οταν με βλέπουν αβοήθητον και εγκαταλελειμμένον, ας μη εντροπιασθούν εκείνοι, οι οποίοι ζητούν βοήθειαν από σέ, ω Θεέ του Ισραήλ.

[8] ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

[8] Μη με εγκαταλείψης Κυριε, διότι εγώ προς χάριν σου υπομένω εμπαιγμούς και ύβρεις. Το πρόσωπόν μου επλημμύρισεν από εντροπήν, έγινε κατακόκκινον.

[9] ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου,

[9] Ξένος και αγνώριστος κατήντησα μεταξύ των αδελφών μου. Αγνωστος και ξένος και εις αυτούς ακόμη τους ομομητρίους αδελφούς μου.

[10] ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ᾽ ἐμέ.

[10] Πασχω δε όλα αυτά, διότι ο φλογερός ζήλος υπέρ του ναού σου ως πυρ με έχει καταφλέξει· Αι αναίσχυντοι ύβρεις, αι οποίαι εκτοξεύονται εναντίον σου από τους ασεβείς ανθρώπους, πίπτουν όλαι

βαρείαι επάνω μου.

[11] καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί·

[11] Δια την ασέβειάν των αυτήν επόνεσα βαθύτατα. Εταπείνωσα με ασιτίαν την ζωήν μου και αντί το πένθος μου δι' αυτούς να τους συγκινήση, εγινεν εξ αντιθέτου αιτία ονειδισμών εναντίον μου.

[12] καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

[12] Αντί του συνήθους ενδύματος εφόρεσα τρίχινον σάκκον θλίψεως και μετανοίας. Κατήντησα δι' αυτούς παροιμιώδες πρόσωπον διακωμωδήσεως και ύβρεων.

[13] κατ᾽ ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

[13] Εναντίον μου εφλυαρούσαν οι αργόσχολοι προ των πυλών των τειχών. Και εις βάρος μου ετραγουδούσαν οι μέθυσοι πίνοντες τον οίνον.

[14] ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε· καιρὸς εὐδοκίας, ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου· ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.

[14] Εγώ όμως, Κυριε, και τότε δια της προσευχής μου είχα στραφή προς σέ. Είναι πλέον καιρός να δείξης προς εμέ την ευδοκίαν σου, Θεέ μου, σύμφωνα με το άπειρον έλεός σου. Καμε δεκτήν την προσευχήν μου σύμφωνα με τας αληθείς υποσχέσεις σου περί της σωτηρίας των δούλων σου.

[15] σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

[15] Σώσε με από την λάσπην, εις την οποίαν ευρίσκομαι, δια να μη βυθισθώ εξ ολοκλήρου. Γλύτωσέ με από τους εχθρούς, που με μισούν. Βγάλε με από τα βαθειά ύδατα των θλίψεων, που με έχουν κοπαπλημμυρίσει.

[16] μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

[16] Ας μη με καταποντίση νεροποντή καταιγίδος. Ας μη με καταπίη ο βυθός της θαλάσσης, ας μη κλείση επάνω μου το στόμιον του φρέατος των θλίψεών μου και χαθώ οριστικώς.

[17] εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ᾽ ἐμέ.

[17] Ακουσε, Κυριε, και κάμε δεκτήν την προσευχήν μου, διότι είναι αγαθόν και ευεργετικόν το έλεός σου προς πάντας. Συμφωνα με την άπειρον ευσπλαγχνίαν σου ρίψε ένα στοργικόν βλέμμα εις εμέ.

[18] μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.

[18] Μη αποστρέψης το πρόσωπόν σου από εμέ τον δούλον σου, διότι θλίβομαι πάρα πολύ. Συντομα, Κυριε, άκουσε την προσευχήν μου.

[19] πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.

[19] Δώσε προσοχήν εις τας ικεσίας μου και εις την θλίψιν της ψυχής μου και σπεύσε να με γλυτώσης. Ενεκα των εχθρών μου, δια να μη καυχώνται και αποθρασύνωνται αυτοί, σώσε μέ.

[20] σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου· ἐναντίον σου πάντες οἱ θλίβοντές με.

[20] Γρήγορα έλα εις βοήθειάν μου, Κυριε, διότι συ γνωρίζστους εμπαιγμούς των, που εξαπολύουν εναντίον μου, την αισχυνην και την εντροπήν μου εξ αιτίας των. Ενώπιόν σου, Κυριε, ευρίσκονται όλοι αυτοί που με θλίβουν και των οποίων η κακία δέν σου διαφεύγει.

[21] ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν, καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

[21] Οπου και αν στραφή η πονεμένη μου ψυχή, δεν περιμένει τίποτε άλλο παρά ύβρεις και ταλαιπωρίαν. Επερίμενα να ευρεθή κάποιος, να με συμπονέση και κανείς δεν παρουσιάσθηκε. Ανεζήτησα κάποιον να με παρηγορήση, και δεν ευρήκα κανένα.

[22] καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου

[22] Οταν δε επείνασα μου έδωκαν αντί φαγητού χολήν,

χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.
[23] γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.

[24] σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.
[25] ἔκχεον ἐπ᾽ αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.
[26] γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν·
[27] ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

[28] πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου·

[29] ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.
[30] πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μου.
[31] αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει,
[32] καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς.

[33] ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν,

[34] ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.
[35] αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ

και όταν εδίψησα, μου έδωκαν να πιώ ξίδι.

[23] Η πλουσία τράπεζά των, που απολαμβάνουν τα αγαθά της ζωής, είθε να μετατραπή εις παγίδα ενώπιόν των. Να γίνη τιμωρία και ανταπόδοσις δια τα κακά, τα οποία μου κάνουν. Πρόσκομμα, δια να σκοντάψουν και πέσουν.
[24] Ας σκοτισθούν τα μάτια των μέχρι σημείου, ώστε να μη βλέπουν. Κυρτωσε την ράχιν των δια παντός, ώστε να μένουν ανήμποροι και συντετριμμένοι.

[25] Χύσε επάνω των, σαν ποτάμι, ολόκληρον την οργήν σου, και ο θυμός της μεγάλη αγανακτήσεώς σου είθε να τους καταλάβη.
[26] Ας γίνη το περιποιημένον αγρόκτημά των έρημον και εις τας κατοικίας των ας μην υπάρξη κανείς απόγονός των, που να κατοικήση.

[27] Διότι εκείνον, τον οποίον συ επέτρεψες θλίψεις και οδυνηράς μαστιγώσεις, αντί να τον συμπονέσουν, τον κατεδίωξαν και στον δριμύν πόνον των τραυμάτων μου προσέθεσαν άλλον πόνον.
[28] Εγκατάλειψέ τους, ώστε να περιπίπτουν από αμαρτίας εις αμαρτίαν, δια να μη εισέλθουν στον δρόμον της μετανοίας και εύρουν δικαίωσιν ενώπιόν σου.

[29] Ας σβησθούν εξ όλοκλήρου τα ονόματά των από το βιβλίον των σωζομένων εις ζωήν αιώνιον και ας καταγραφούν με τα ονόματα των δικαίων.
[30] Εγώ είμαι πτωχός και αβοήθητος γεμάτος πόνους και οδύνας. Η σωτηρία σου, ω Θεέ μου, είθε να με στηρίξη και με βοηθήση.
[31] Τοτε εγώ γεμάτος ευγνωμοσύνην θα υμνολογήσω το όνομα του Θεού μου με ωδήν. Θα διαλαλήσω το μεγαλείον του με αίνεσιν δοξολογίας.
[32] Και η ευγνώμων αυτή δοξολογία και λατρεία μου θα αρέση στον Θεόν περισσότερον από την θυσίαν μόσχου αρτιμελούς, του οποίου μόλις έχουν αρχίσει να φυτρώνουν τα κέρατα και αι οπλαί στους πόδας του.

[33] Ας ίδουν την θαυμαστήν λύτρωσίν μου οι πονεμένοι και οι ταιπεινοί του κόσμου και ας ευφρανθούν με την πεποίθησιν ότι ο Θεός προστατεύει τους ιδικούς του. Ζητήσατε με όλην σας την καρδίαν τον Θεόν και θα αναζωογονηθήτε.
[34] Διότι ο Κυριος ακούει και κάνει δεκτάς τας προσευχάς των πτωχών και δεν καταφρονεί τους αλυσοδεμένους αιχμαλώτους του λαού του.
[35] Ας δοξολογήσουν οι ουρανοί και η γη τον Θεόν, η θάλασσα και όλα όσα υπάρχουν εις αυτήν και

ἔρποντα ἐν αὐτῇ.
[36] ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας, καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν·
[37] καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

διασχίζουν τα νερά της.
[36] Διότι ο Θεός θα σώση την πόλιν Σιών και θα ανοικοδομηθούν αι πόλεις της Ιουδαίας και θα κατοικήσουν εις αυτας ως εις μόνιμον και οριστικήν των κληρονομίαν οι Ισραηλίται.
[37] Και οι απόγονοι των δούλων σου αυτών θα συνεχίσουν να κατέχουν την γην αυτήν. Εκείνοι που αγαπούν το Ονομά σου, θα στήσουν μονίμως τας κατοικίας των εις την ιεράν γην της Επαγγελίας.

69 Εἰς τὸ τέλος· τῷ Δαυῒδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον.
[2] (Μασ. 70) Ο ΘΕΟΣ, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.
[3]αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μου κακά·
[4] ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· εὖγε εὖγε.

[5] ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός, καὶ λεγέτωσαν διαπαντός· μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

[6] ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε, μὴ χρονίσῃς.

[2] (Μασ. 70) Ω Θεέ μου, δώσε προσοχήν εις την κατάστασίν μου και έλα εις βοήθειάν μου. Ναι, Κυριε, σπεύσε να με βοηθήσης.
[3] Ας εντραπούν και ας καταισχυνθούν όλοι εκείνοι, οι οποίοι ζητούν να μου αφαιρέσουν την ζωήν. Ας στραφούν εις τα οπίσω και ας εντροπιασθούν όσοι θέλουν τα κακά μου.

[4] Ας γυρίσουν αμέσως προς τα οπίσω κατεντροπιασμένοι αυτοί, οι οποίοι χαιρεκακούν εις την δυστυχίαν μου και λέγουν ειρωνικώς· Ωραία, ωραία!
[5] Ολοι δε όσοι βλέπουν την βοήθειαν και προστασίαν, την οποίαν συ προσφέρεις προς τους πιστούς, ας σκιρτήσουν από αγαλλίασιν. Και ας ευφρανθούν, ω Θεέ μου, όλοι αυτοί, οι οποίοι ζητούν και επικαλούνται σέ· όλοι όσοι ποθούν την σωτηρίαν, που συ προσφέρεις, ας λέγουν πάντοτε ακαταπαύστως· Ας δοξάζεται και ας μεγαλύνεται ο Κυριος.
[6] Εγώ δε είμαι πτωχός και άθλιος. Βοήθησέ με, Θεέ μου. Βοηθός μου και λυτρωτής μου είσαι συ, Κυριε, μη βραδύνης, μη αργοπορήσης.

70 Τῷ Δαυῒδ· υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων.
[1] (Μασ. 71) ΕΠΙ ΣΟΙ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.
[2] ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με, κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.

[1] (Μασ. 71) Εις σε Κυριε έχω στηρίξει και στηρίζω τας ελπίδας μου. Πιστεύω ότι ποτέ δεν θα εντροπιασθώ.
[2] Εν ονόματι της δικαιοσύνης σου και δια της δικαιοσύνης σου γλύτωσέ με και ελευθέρωσέ με από αδίκους πειρασμούς και κατατρεγμούς. Κλίνε το αυτί σου προς εμέ, άκουσε την προσευχήν μου και σώσε

με.

[3] γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με, ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.
[3] Γινε εις εμέ Θεός υπερασπιστής και φρούριον απόρθητον, δια να με σώσης από τους κινδύνους. Διότι βράχος, επί του οποίου σταθερά στηρίζομαι, και ασφαλές καταφύγιόν μου είσαι συ.

[4] ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος·
[4] Ω Θεέ μου, γλύτωσέ με από τα χέρια του κάθε αμαρτωλού. Από τα χέρια εκείνων, οι οποίοι παραβαίνουν τον Νομον σου και διαπράττουν αδικίας.

[5] ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε· Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου,
[5] Διότι συ, Κυριε είσαι εκείνος, από τον οποίον με υπομονήν περιμένω βοήθειαν. Συ είσαι η ελπίς μου από αυτών ακόμη των χρόνων της νεότητός μου.

[6] ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής· ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.
[6] Από τότε που ήμουν ακόμη έμβρυον, εις σε είχα στηριχθή. Από την κοιλίαν της μητρός μου συ ήσουνα και είσαι προστάτης και υπερασπιστής μου. Δια τούτο και εγώ ακαταπαύστως θα σε δοξολογώ.

[7] ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς κραταιός.
[7] Ωσάν κάποιο παράδοξον φαινόμενον συμφορών εφάνηκα στους πολλούς. Εν μέσω όμως των δυστυχιών μου αυτών συ ήσουνα ο πανίσχυρος βοηθός μου.

[8] πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.
[8] Ας γεμίση το στόμα μου από ύμνους, δια να υμνώ το μεγαλείον σου, όλην την ημέραν την θείαν σου μεγαλοπρέπειαν.

[9] μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.
[9] Μη με εγκαταλείψης τώρα εις τα γηράματά μου. Τωρα που με αφήνουν αι σωματικαί μου δυνάμεις συ, Κυριε, μη με εγκαταλείψης.

[10] ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό
[10] Διότι οι εχθροί μου, αυτοί που καιροφυλακτούν να αφαιρέσουν την ζωήν μου, συνεσκέφθησαν μεταξύ των

[11] λέγοντες· ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.
[11] και είπαν· Ο Θεός τον εγκατέλειψε. Καταδιώξατε, λοιπόν, αυτόν και συλλάβετέ τον, διότι δεν υπάρχει κανείς να τον γλυτώση από τα χέρια μας.

[12] ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ᾽ ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.
[12] Ω Θεέ μου, μη απομακρύνεσαι από εμέ. Ω Θεέ μου, δώσε προσοχήν εις την κατάστασίν μου και σπεύσε να με βοηθήσης.

[13] αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.
[13] Ας καταισχυνθούν και ας αφανισθούν εκείνοι, οι οποίοι επιβουλεύονται την ζωήν μου. Ας φορέσουν ωσάν ένδυμα την καταισχύνην και την εντροπήν εκείνοι, οι οποίοι σκέπτονται και επιζητούν την καταστροφήν μου.

[14] ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σὲ καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.
[14] Εγώ δε συνεχώς και ακαταπαύστως θα έχω τας ελπίδας μου εις σε και κοντά εις τας άλλας αινέσεις και δοξολογίας, που σου ανέπεμψα, θα προσθέσω και νέαν υμνολογίαν προς δόξαν του Ονόματός σου.

[15] τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου, ὅτι οὐκ ἔγνων γραμματείας.
[15] Οταν συ θα με σώσης από αυτούς, που απειλούν την ζωήν μου, τότε το στόμα μου θα διαλαλήση την δικαιοσύνην σου αυτήν προς όλους. Οληνην ημέραν θα διακηρύττω την σωτηρίαν, την οποίαν συ

στέλλεις. Προφορικώς θα εξαγγέλλω την ευγνωμοσύνην μου προς σέ, διότι εγώ δεν είμαι γραμματεύς δια να συγγράψω βιβλία και να καταγράφω εις αυτά τα θαυμαστά έργα σου.

16 εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σοῦ μόνου.

16 Θα εισέλθω εις την εξιστόρησιν όλων των θαυμαστών έργων, που έκαμεν η παντοδυναμία του Κυρίου. Ναι, Κυριε, θα ενθυμηθώ την δικαιοσύνην σου, διότι συ είσαι ο απόλυτος και μόνος δίκαιος.

17 ὁ Θεός, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.

17 Ω Θεέ μου, θα αναγγείλω και θα διαλαλήσω τας θαυμαστάς επεμβάσεις της προστασίας σου, με τας οποίας με εδίδαξες από την νεότητά μου μέχρι σήμερα να ελπίζω εις την προστασίαν σου.

18 καὶ ἕως γήρως καὶ πρεσβείου, ὁ Θεός, μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐπερχομένῃ,

18 Και μέχρι των γηρατείων μου και μέχρι της πλέον προχωρημένης ηλικίας μου, ω Θεέ μου, μη με εγκαταλείψης, μέχρις ότου διαλαλήσω την προστασίαν της παντοδυνάμου δεξιάς σου εις κάθε γενεάν, η οποία επακολουθεί.

19 τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου. ὁ Θεός, ἕως ὑψίστων ἃ ἐποίησας μεγαλεῖα· ὁ Θεός, τίς ὅμοιός σοι;

19 Μα εξαγγείλω την ακατανίκητον δύναμίν σου, την άπειρον δικαιοσύνην σου. Ω Θεέ, μέχρι των υψίστων και απεριορίστων περιοχών του ουρανίου κόσμου φθάνουν τα μεγαλεία τα οποία έκαμες. Ο Θεός, ποιός όμοιος υπάρχει προς σέ;

20 ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

20 Ποσας και πόσας θλίψεις, βαρείας και οδυνηράς, μου έστειλες! Πλην έστρεψες προς εμέ στοργικόν το βλέμμα σου και την αγάπην σου, και με ανεζωογόνησες, και από τα απύθμενα βάθη της γης πάλιν με ανεβίβασες.

21 ἐπλεόνασας ἐπ᾽ ἐμὲ τὴν μεγαλωσύνην σου καὶ ἐπιστρέψας παρεκάλεσάς με καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

21 Πλουσίαν έδειξες εις εμέ την μεγαλειώδη συγκατάβασίν σου, διότι συ επιστραφείς με επαρηγόρησες. Και από τα κατώτατα βάθη των συμφορών, όπου είχα βυθισθή, πάλιν με επανέφερες εις την επιφάνειαν.

22 καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός· ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.

22 Δια τούτο και εγώ θα υμνολογήσω με μουσικά όργανα την αξιοπιστίαν και αλήθειαν των λόγων και των υποσχέσεών σου. Θα σε υμνολογήσω με την κιθάραν, ω άγιε Θεέ του Ισραήλ.

23 ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω.

23 Οταν εγώ ψάλλω ύμνους προς το μεγαλείον σου, θα γεμίσουν από αγαλλίασιν τα χείλη μου και η ψυχή μου, την οποίαν τόσες και τόσες φορές συ εγλύτωσες.

24 ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

24 Ακόμη δε και η γλώσσα μου θα μελετά όλας τας ημέρας την δικαιοσύνην σου. Οταν μάλιστα βλέπω να αποτυγχάνουν αυτοί, που ζητούν την καταστροφήν μου, να καταισχύνωνται και να κατεντροπιάζωνται.

71 Εἰς Σαλωμών.

1 (Μασ. 72) Ο ΘΕΟΣ, τὸ κρίμα σου

1 (Μασ. 72) Ω Θεέ μου, δώσε στον βασιλέα και στον

τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως
[2] κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

[3] ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου καὶ οἱ βουνοὶ δικαιοσύνην.

[4] κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων καὶ ταπεινώσει συκοφάντην

[5] καὶ συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.

[6] καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

[7] ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

[8] καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.

[9] ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

[10] βασιλεῖς Θαρσὶς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι.

[11] καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
[12] ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός.

[13] φείσεται πτωχοῦ καὶ πένητος καὶ ψυχὰς πενήτων σώσει.

διάδοχον αυτού, υιόν του βασιλέως, την σύνεσιν και την σοφίαν,
[2] ώστε να κρίνη και να απονέμη το δίκαιον σύμφωνα με την ιδικήν σου δικαιοσύνην. Δος του σοφίαν, δια να κρίνη δικαίως τον λαόν σου και να υπερασπίζη τους αδυνάτους και αδικουμένους εις τας διαφόρους δίκας.
[3] Με την ιδικήν σου αγαθότητα και παντοδυναμίαν ας καρποφορήσουν τα όρη ειρήνην δια τον λαόν σου και εις τα βουνά ας φυτρώση η δικαιοσύνη.
[4] Ο προτυπούμενος από τον βασιλέα βασιλεύς Μεσσίας θα αποδώση το δίκαιον στους πτωχούς και καταφρονημένους ανθρώπους του λαού. Θα τους σώση από την αδικίαν και θα ταπεινώση τους ψευδολόγους και τους συκοφάντας.
[5] Και θα συμπαραμείνη ζων και βασιλεύων αιωνίως λαμπρός, όπως ο ήλιος, θα προηγήται και θα υπερέχη από την σελήνην εις δόξαν εις τας γενεάς των γενεών.
[6] Ο βασιλεύς Μεσσίας θα κατεβή από τον ουρανόν αθορύβως, όπως η βροχή, η οποία πίπτει επάνω στο ποκάρι των μαλλιών, ευεργετικός όπως η ποτιστική βροχή η ποτίζουσα την γην.
[7] Από την πνευματικήν δε αυτήν γλυκείαν άρδευσιν θα αναβλαστήση και θα ανθίση επί των ημερών του δικαιοσύνη και ειρήνη πλουσία και ατελείωτος, μέχρις ότου κατά την συντέλειαν του κόσμου λάβη τέλος η σελήνη.
[8] Αυτός θα κατακυριεύση ολόκληρον την γην από τον ένα ωκεανόν έως τον άλλον και από τους μεγάλους ποταμούς έως εις τα πέρατα της οικουμένης.
[9] Ενώπιόν του θα προσπέσουν, δια να τον προσκυνήσουν, Αιθίοπες. Οι δε εχθροί αυτού, ταπεινωμένοι και συντετριμμένοι, θα κύψουν την κεφαλήν και με την γλώσσαν των θα γλείψουν χώμα.
[10] Οι βασιλείς της Ισπανικής πόλεως Θαρσίς και αι νήσοι, που είναι διάσπαρτοι ανά την Μεσόγειον, θα προσφέρουν εις αυτόν ως φόρον υποτελείας δώρα. Το ίδιον θα πράξουν και οι βασιλείς της Αραβίας, όπως επίσης και της Σαβά.
[11] Θα τον προσκυνήσουν όλοι οι βασιλείς της γης, και όλα τα έθνη θα υποταχθούν και θα δουλεύσουν εις αυτόν.
[12] Τούτο δέ, διότι αυτός θα γλυτώση τον πτωχόν από τον ισχυρόν που τον καταπιέζει, όπως επίσης τον αδύνατον και περιφρονημένον, στον οποίον δεν υπήρχε κανείς βοηθός.
[13] Θα σπλαγχνισθή τον πτωχόν και τον πένητα και θα σώση την ζωήν όλων εκείνων, οι οποίοι ευρίσκονται

εις στέρησιν και αδυναμίαν.

14 ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν.
14 Θα γλυτώση από την τοκογλυφίαν και την αδικίαν την ζωήν των και θα είναι έντιμον και προσκυνητόν το Ονομά του εις αυτούς.

15 καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς ᾽Αραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.
15 Θα ζήση αυτός μεγαλειώδη ατέρμονα ζωήν. Εις αυτόν θα δοθή ο χρυσός της Αραβίας, και οι πιστοί του θα προσεύχωνται υπέρ της βασιλείας αυτού πάντοτε. Ολας τας ημέρας των θα τον δοξολογούν και θα τον υμνούν.

16 ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων· ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
16 Θα είναι αυτός βεβαία ελπίς και σταθερόν στήριγμα όλων, που κατοικούν εις την γην μέχρι και αυτών, που ευρίσκονται εις τας κορυφάς των ορέων. Οι καρποί της δικαίας αυτού διοικήσεως θα στοιβάζωνται ολονέν άφθονοι, ώστε να υπερκαλύψουν και αυτόν ακόμη τον Λιβανον. Οι πιστοί θα αυξηθούν, θα πλημμυρίσουν τας πόλεις, θα ανθίσουν και θα καρποφορήσουν, όπως το χορτάρι πλημμυρίζει την γην στον κατάλληλον καιρόν.

17 ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ· καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.
17 Θα είναι το Ονομά του ένδοξον και ευλογημένον εις όλους τους αιώνας. Αιωνίως ένδοξον και άσβεστον, περισσότερον από τον λαμπρόν ήλιον. Δι' αυτού θα απολαύσουν τας ευλογίας του Θεού όλαι αι φυλαί της γης, όλα τα έθνη θα τον επαινούν και θα τον μακαρίζουν.

18 εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ ᾽Ισραήλ, ὁ ποιῶν θαυμάσια μόνος,
18 Ευλογητός είναι ο Κυριος ο Θεός, ο οποίος λατρεύεται και προσκυνείται από τον Ισραήλ, αυτός που μόνος έχει την δύναμιν να επιτελή θαυμάσια, έργα καταπληκτικά.

19 καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο, γένοιτο.
19 Ας είναι ευλογημένον το ένδοξον Ονομά του και τώρα και πάντοτε και στους αιώνας των αιώνων. Ας γεμίση από την δόξαν του όλη η γη. Αμήν, Αμήν.

᾽Εξέλιπον οἱ ὕμνοι Δαυῒδ τοῦ υἱοῦ ᾽Ιεσσαί.

72

Ψαλμὸς τῷ ᾽Ασάφ.

1 (Μασ. 73) ΩΣ ΑΓΑΘΟΣ ὁ Θεὸς τῷ ᾽Ισραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ.
1 (Μασ. 73) Ποσον αγαθός είναι ο Θεός και πλήρης ευεργεσιών προς τους Ισραηλίτας και μάλιστα εις όσους έχουν καρδίαν ευθείαν και ειλικρινή!

2 ἐμοῦ δὲ παραμικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.
2 Αλλά εις εμέ παρ' ολίγον να σαλευθούν οι πόδες μου, να κλονισθούν από αμφιβολίαν αι πεποιθήσεις μου. Παρ' ολίγον αι πορείαι της ζωής μου να είχαν εκκλίνει από την οδόν του Κυρίου.

3 ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις εἰρήνην ἁμαρτωλῶν θεωρῶν,
3 Διότι κατελήφθην από ζήλειαν και από δυσφορίαν, επειδή έβλεπα την ευημερίαν των αμαρτωλών ανθρώπων.

[4] ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν·
[5] ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
[6] διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία, περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν.

[7] ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν, διῆλθον εἰς διάθεσιν καρδίας·

[8] διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν·
[9] ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.

[10] διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.

[11] καὶ εἶπαν· πῶς ἔγνω ὁ Θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ;

[12] ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες· εἰς τὸν αἰῶνα κατέσχον πλούτου.
[13] καὶ εἶπα· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου·

[14] καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.

[15] εἰ ἔλεγον· διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.

[16] καὶ ὑπέλαβον τοῦ γνῶναι τοῦτο· κόπος ἐστὶν ἐνώπιόν μου,

[4] Εβλεπα ότι δεν υπάρχει, μακρά αγωνία και βάσανος κατά τον θάνατόν των και δεν διαρκεί επί πολύ η τυχόν μαστίζουσα αυτούς θλίψις.
[5] Αυτοί δεν κοπιάζουν, όπως οι άλλοι άνθρωποι, δια τον πορισμόν των αγαθών της ζωής. Και γενικώς δεν καταθλίβονται, όπως οι άλλοι.
[6] Δι' αυτό και τους κατέλαβεν εξ ολοκλήρου η υπερηφάνειά των. Κατά τρόπον επιδεικτικόν φορούν και φέρουν την αδικίαν προς τους άλλους και την ασέβειαν προς τον Θεόν.
[7] Η αδικία των θα εξέλθη λιπαρά, πλουσία και μεστωμένη από την διεφθαρμένην των καρδίαν. Εξεπέρασαν κάθε όριον αι πονηραί επιθυμίαι της καρδίας των.
[8] Εσκέφθησαν και απεφάσισαν πονηοά εναντίον των άλλων ανθρώπων. Διελάλησαν χωρίς εντροπήν μεγαλοφώνως τα κακουργήματά των.
[9] Ηνοιξαν το στόμα των και έφθασε μέχρι του ουρανού, δια να υβρίση και αυτόν τον Θεόν. Και από εκεί η γλώσσα των επέρασε επάνω εις την γην εξαπολύουσα συκοφαντίας και ύβρεις.
[10] Δια τούτο ο ισραηλιτικός λαός από το κακόν παράδειγμα εκείνων εγκαταλείπει εμέ και επιστρέφει εδώ, όπου ευρίσκονται αυτοί, παρασυρόμενος από την φαινομενικήν των ευτυχίαν. Φαντάζονται οι σκανδαλισμένοι Ισραηλίται ότι και μεταξύ αυτών θα ανατείλουν έτσι ημέραι ευτυχίας.
[11] Και είπαν πολλοί σκανδαλισθέντες από την φαινομενικήν ειδαιμονίαν των ασεβών· άρα γε λαμβάνει γνώσιν ο Θεός αυτών, που συμβαίνουν εις την γην; Και υπάρχει πράγματι γνώσις αυτών στον Υψιστο
[12] Ιδού, ότι αυτοί εδώ είναι αμαρτωλοί και όμως ευτυχούν. Απέκτησαν πλούτον, ο οποίος συνεχώς και αυξάνει εις τα χέρια των.
[13] Είπα και εγώ παρασυρθείς προς στιγμήν από τας σκέψεις αυτάς· άρά γε ματαίως διετήρησα καθαράν την καρδίαν μου και έχω νίψει τας χείρας μου ως αθώος μεταξύ των αθώων;
[14] Ματαίως υφιστάμην με υπομονήν τας μαστιγώσεις των διαφόρων θλίψεων όλην την ημέραν, και κάθε πρωϊ εξετάζω και ελέγχω τον εαυτόν μου, μήπως έχω πταίσει εις τίποτε, δια να προλάβω ενδεχομένας άλλας πτώσεις.
[15] Εάν έλεγα, ότι θα διηγηθώ αυτούς τους δισταγμούς της ολιγοπιστίας μου, θα εκθέσω τας σκέψεις μου εις την γενεάν των υιών σου, τότε θα ανεδεικνυόμην ασύνετος και αποστάτης, διδάσκαλος του κακού.
[16] Ενόμισα όμως ότι έπρεπε να μελετήσω, δια να κατανοήσω καλώς αυτό το ζήτημα. Η μελέτη όμως

αυτή υπήρξε δι' εμέ κόπος ανωφελής και εξαντλητικός. Λυσιν δεν ευρήκα·

17 ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.
17 μέχρις ότου εισήλθα στον άγιον ναόν του Θεού και εκεί φωτισθείς είδα και εννόησα τα τέλη των αμαρτωλών αυτών ανθρώπων.

18 πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
18 Τωρα ευτυχούν, αλλά δια τας δολιότητάς των επεφύλαξες δι' αυτούς συμφοράς. Θα τους ταπεινώσης, θα συντρίψης την υπερηφάνειάν των.

19 πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα· ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.
19 Πως έξαφνα ερημώθηκαν όλοι; Εξηφανίσθησαν, εχάθησαν εξ αιτίας της παρανομίας των.

20 ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.
20 Οπως διαλύεται και σβήνει το όνειρον του ανθρώπου που εξυπνά και σηκώνεται, έτσι και συ, Κυριε, εξεμηδένισας εις την πόλιν σου Ιερουσαλήμ την πρόσκαιρον και λαμπράν εμφάνισιν των αμαρτωλών.

21 ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν,
21 Προηγουμένως είχε φλογισθή από ζηλοτυπίαν και δυσφορίαν η καρδία μου δια την ευτυχίαν των ασεβών ανθρώπων. Οι νεφροί μου και το εσωτερικόν μου ανεστατώθησαν, ήλλαξαν όψιν.

22 κἀγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων, κτηνώδης ἐγενόμην παρά σοι.
22 Κατω από τας σκέψεις αυτάς έγινα και εγώ ένα τίποτε. Δεν εννόησα καθόλου το πρόβλημα τούτο. Ενώπιόν σου έγινα ωσάν ζώον· ωσάν ένα κτήνος κατά τον νουν.

23 κἀγὼ διαπαντὸς μετὰ σοῦ, ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου
23 Αλλά εγώ, ως πιστός σου, θα είμαι πάντοτε μαζή σου. Διότι συ με εκράτησες από την δεξιάν μου χείρα, ώστε να μη πέσω.

24 καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με καὶ μετὰ δόξης προσελάβου με.
24 Συ, εν τη αγαθή και παντοδυνάμω βουλή σου, με ωδήγησας εις την παρούσαν ζωήν, και με δόξαν θα με παραλάβης εις την άλλην ζωήν.

25 τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
25 Διότι τι άλλο άξιον προσοχής και αγάπης υπάρχει στον ουρανόν πλην από σέ; Τι άλλο, πλην από σέ, θα επιθυμούσα εδώ εις την γην;

26 ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.
26 Η καρδία μου και όλον μου το σώμα έσβησαν από τας ταλαιπωρίας μου. Και όμως ο Θεός είναι και παραμένει ο πόθος της καρδίας μου. Ο Θεός είναι η αναφαίρετος και αιωνία κληρονομία μου.

27 ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
27 Ιδού, αυτοί οι οποίοι απομακρύνονται από σέ, θα καταστραφούν, διότι συ εν τη δικαιοσύνη σου εξωλόθρευσες και θα εξολοθρεύης πάντοτε καθένα που αποστατεί από σέ.

28 ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.
28 Εις εμέ ένα μόνον ύψιστον αγαθόν υπάρχει, να προσκολλώμαι στον Θεόν, να αποθέτω την ελπίδα μου στον Κυριον, να κηρύττω και να διαλαλώ όλους τους αίνους σου και τας ευχαριστίας μου δια τας ευεργεσίας σου ενώπιον πλήθους λαού εις τας πύλας της κόρης σου, της Ιερουσαλήμ.

73 Συνέσεως τῷ ᾽Ασάφ.

[1] (Μασ. 74) ΙΝΑΤΙ ἀπώσω, ὁ Θεός, εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;

[1] (Μασ. 74) Διατί άρά γε, ω Θεέ μου, μας απώθησες και μας απεμάκρυνες εξ ολοκλήρου από κοντά σου; Διατί εξέσπασεν ο θυμός σου εναντίον των προβάτων της ποίμνης σου και της βοσκής σου;

[2] μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς· ἐλυτρώσω ράβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.

[2] Ενθυμήσου ημάς, τον λαόν σου, τον οποίον έκαμες ιδικόν σου κτήμα από αρχαιοτάτων χρόνων. Τον ελευθέρωσες από την Αίγυπτον δια να είναι ωσάν βασιλική ράβδος της κληρονομίας σου, δείγμα της ιδικής σου εξουσίας, και να κατοική στο όρος τούτο, την Σιών, στο οποίον συ έστησας την σκηνήν σου, τον ναόν σου.

[3] ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου.

[3] Σηκωσε τας χείρας σου και κτύπα με ορμήν τας αλαζονικάς επάρσεις των εχθρών σου. Συντριψέ τους εξ ολοκλήρου ένεκα των κακουργημάτων, που ετόλμησαν οι εχθροί σου να διαπράξουν εις βάρος των αγίων σου.

[4] καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου, ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν.

[4] Οι ειδωλολατρικοί αυτοί λαοί, που σε εμισούσαν, εκαυχώντο, διότι εισήλθον στον ναόν σου εν ώρα λατρείας και έθεσαν τα ειδωλολατρικά των σήματα ως σημεία θριάμβου και δεν ενόησαν, ποίαν τρομεράν βεβήλωσιν έκαμαν στον άγιόν σου τόπον.

[5] ὡς εἰς τὴν ἔξοδον ὑπεράνω,

[5] Εστησαν τας σημαίας των προς την έξοδον του ναού, επάνω από την πύλην.

[6] ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.

[6] Σαν να ευρίσκοντο εις πυκνόν δάσος δένδρων όλοι μαζή κατέκοψαν με αξίνας τας θύρας της. Με πέλεκυν και με σφήνα οξείαν την κατεθρυμμάτισαν.

[7] ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

[7] Εβαλαν φωτιά και κατέκαυσαν το θυσιαστήριόν σου, εβεβήλωσαν και έρριψαν κάτω εις την γην εις ερείπια το σκήνωμα του αγίου Ονόματός σου.

[8] εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό· δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.

[8] Είπαν από κοινού εις τας καρδίας των αι φυλαί και συγγένειαί των· Ελάτε και ας θέσωμεν οριστικόν τέρμα εις όλας τας εορτάς του Θεού από την γην, ώστε να μη γίνουν ποτέ πλέον.

[9] τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

[9] Είπαν εν συνεχεία· Δεν είδαμε άλλως τε κανένα από τα σημεία και τα θαύματα, με τα οποία λέγουν ότι ο Θεός τους επροστάτευε. Δεν υπάρχει πλέον προφήτης μεταξύ των και δεν θα μάθη ο Θεός των αυτά, τα οποία ημείς πράττομεν!

[10] ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;

[10] Κυριε και Θεέ, έως πότε θα υβρίζη και θα χλευάζη ο εχθρός μας και θα παροξύνη το Ονομά σου και θα προκαλή τόσον πολύ ο αντίθετός μας την οργήν σου με τας βλασφημίας του;

[11] ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

[11] Διατί απομακρύνστο προστατευτικόν σου χέρι από ημάς; Και διατί δεν βγάζεις την παντοδύναμον δεξιάν σου από τον κόλπον σου, δια να κτυπήσης οριστικά τους εχθρούς σου;

[12] ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ

[12] Και όμως ο Θεός μας είναι ο προαιώνιος βασιλεύς

αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

μας. Αυτός επραγματοποίησε κατά τρόπον θαυμαστόν την σωτηρίαν μας φανερά εν μέσω όλης της γης, ώστε να γίνη γνωστή εις όλον τον κόσμον.

13 σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

13 Συ, με την ακατανίκητον δύναμίν σου διέρρηξες την θάλασσαν και εκράτησες ακίνητα εκατέρωθεν τα ύδατά της, δια να διέλθη ο λαός σου. Συ συνέτριψες τας κεφαλάς των δρακόντων, των αρχηγών δηλαδή του αιγυπτιακού στρατού, και έπνιξες αυτούς μαζή με τον στρατόν των εις τα ύδατα.

14 σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

14 Συ συνέτριψες την κεφαλήν του άλλου δράκοντός, του Φαραώ, και παρέδωκες την χώραν του ως λάφυρον στους λαούς των Αιθιόπων.

15 σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

15 Συ έσπασες βράχους και ανέβλυσαν πηγαί με ύδατα. Συ εξ αντιθέτου εξήρανες τους πλουσίους ποταμούς Ηθάμ και τους εστείρευσες.

16 σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.

16 Ιδική σου είναι η ημέρα, ιδική σου είναι και η νύκτα. Συ εδημιούργησες το φως και τον ήλιον.

17 σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς· θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά.

17 Συ εδημιούργησες όλα τα ωραία πράγματα της φύσεως, συ έπλασες το θέρος και την άνοιξιν.

18 μνήσθητι ταύτης· ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

18 Ενθυμησου, Κυριε, τούτο· ότι εχθρός άνθρωπος ύβρισε και εχλεύασε τον Κυριον, και λαός, εξ αιτίας της ασεβείας του άμυαλος, ύβρισε εξοργιστικώς το Ονομά σου.

19 μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

19 Μη λοιπόν παραδώσης στους θηριώδεις αυτούς ανθρώπους την ζωήν ημών, οι οποίοι σε δοξολογούμεν. Μη λησμονήσης ημάς τους πτωχούς και συντετριμμένους και μη μας αφήσης να καταστραφώμεν τελείως.

20 ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

20 Ριξε ένα βλέμμα εις την διαθήκην, την οποίαν έχεις κάμει συ με ημάς. Τιμώρησε τους κακούς, διότι όλοι οι απόμεροι και απόκρυφοι τόποι της χώρας μας εγέμισαν από κακοποιούς, έγιναν κρησφύγετα της ανομίας.

21 μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμένος· πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

21 Ας μη γυρίση πίσω ταπεινωμένος και καταντροπιασμένος ο πτωχός λαός σου, ο οποίος σε ικετεύει. Αλλως τε, όχι οι πλούσιοι αλλά οι πτωχοί και οι άποροι, αυτοί θα υμνολογήσουν το όνομά σου.

22 ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου· μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

22 Σηκω επάνω, ω Θεέ, δίκασε την υποθεσίν σου, που είναι και ιδικόν σου ζήτημα. Ενθυμήσου τους χλευασμούς και τας βλασφημίας, που σου απευθύνουν οι μωροί αυτοί λαοί όλας τας ημέρας της ζωής των.

23 μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντός.

23 Μη λησμονήσης, Κυριε, την φωνήν αυτών, οι οποίοι τώρα σε ικετεύουν. Η αλαζονεία εκείνων, που σε μισούν, εξεπέρασε κάθε όριον, και διαρκώς ανεβαίνει εξοργιστική μέχρις αυτού του ουρανίου θρόνου σου.

74 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· ψαλμὸς ᾠδῆς τῷ ᾿Ασάφ.

[2] (Μασ. 75) ΕΞΟΜΟΛΟΓΗΣΟΜΕΘΑ σοι, ὁ Θεός, ἐξομολογησόμεθά σοι καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.

[2] (Μασ. 75) Θα σε δοξολογήσωμεν, ω Θεέ. Θα σε δοξολογήσωμεν δια την προστασίαν και τας ευεργεσίας, που μας παρέχεις και θα επικαλούμεθα πάντοτε το άγιον Ονομά σου.

[3] διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν· ἐγὼ εὐθύτητας κρινῶ.

[3] Εγώ προσωπικώς θα διηγηθώ και θα διακηρύττω μεταξύ των άλλων τας θαυματουργικάς σου υπέρ ημών επεμβάσεις. Και ο Κυριος απαντά· Οταν θα έλθη ο κατάλληλος καιρός, τότε εγώ θα κρίνω και θα δικάσω με ευθύτητα και δικαιοσύνην.

[4] ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ, ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. (διάψαλμα).

[4] Η γη και οι κάτοικοί της θα λυώσουν από τον τρόμον των τιμωριών, που εγώ θα στείλω. Εγώ έχω ακλόνητα στερεώσει τους στύλους του κόσμου και επομένως δεν θα σαλευθούν.

[5] εἶπα τοῖς παρανομοῦσι· μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι· μὴ ὑψοῦτε κέρας,

[5] Επειτα από την διακήρυξιν αυτήν του Θεού ο ψαλμωδός λέγει· Είπα, λοιπόν, και εγώ στους παρανόμους· μη παρανομείτε πλέον. Και στους αμαρτωλούς· μη αμαρτάνετε και μη σηκώνετε το μέτωπόν σας.

[6] μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.

[6] Μη υψώνετε εγωϊστικώς την δύναμίν σας και μη αλαζονεύεσθε δι' αυτήν. Μη προβάλλετε με αλαζονείαν την ισχύν σας και καταφέρεσθε αδίκως εναντίον του παντοδυνάμου Θεού.

[7] ὅτι οὔτε ἐξ ἐξόδων οὔτε ἀπὸ δυσμῶν οὔτε ἀπὸ ἐρήμων ὀρέων,

[7] Διότι σωτηρία και διαφυγή σας δεν υπάρχει ούτε από ανατολών, ούτε από δυσμών, ούτε από τας ερήμους ορεινάς περιοχάς, που ευρίσκονται προς νότον.

[8] ὅτι ὁ Θεὸς κριτής ἐστι, τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.

[8] Διότι ο Θεός είναι κριτής, κύριος του σύμπαντος, και άλλον εν τη παντοδυναμία του ανυψώνει, άλλον δε ταπεινώνει.

[9] ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος. καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς·

[9] Και τούτο, διότι στο χέρι του Κυρίου υπάρχει ποτήρι γεμάτο από ανόθευτον, χωρίς νερό, δριμύτατο κρασί, πότισμα δια κάθε αμαρτωλόν. Ο Κυριος κλίνει το ποτήριον τούτο και προσφέρει το πικρόν περιεχόμενόν του τώρα μένστούτον τον αμαρτωλόν, άλλοτε εις εκείνον. Το πικρόν όμως περιεχόμενον του ποτηρίου, παρ' όλα τα ποτίσματα, δεν εξεκενώθη θα πιουν εν καιρώ όλοι οι αμαρτωλοί του κόσμου και θα τιμωρηθούν.

[10] ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ ᾿Ιακώβ· καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

[10] Τοτε δε και εγώ, όταν θα βλέπω να τιμωρούνται οι αμετανόητοι αμαρτωλοί, θα σκιρτώ πάντοτε από δικαίαν χαράν και αγαλλίασιν και θα υμνολογώ τον Θεόν του Ισραήλ. Και ο Θεός διαβεβαιώνει· Ναι, θα συντρίψω όλας τας δυνάμεις των αμαρτωλών και θα υψώσω τας δυνάμεις των δικαίων ανθρώπων.

75 Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ ᾿Ασάφ, ᾠδὴ πρὸς τὸν ᾿Ασσύριον.

[2] (Μασ. 76) ΓΝΩΣΤΟΣ ἐν τῇ ᾿Ιουδαίᾳ ὁ Θεός, ἐν τῷ ᾿Ισραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

[2] (Μασ. 76) Γνωστός είναι, ο Θεός εις την Ιουδαίαν, μέγα και πολυύμνητον είναι το Ονομά του μεταξύ των Ισραηλιτών.

[3] καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών·

[3] Ειρήνη επεκράτησεν στον τόπον του, ειρήνη υπάρχει στο κατοικητήριόν του, εις την Σιών.

[4] ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ρομφαίαν καὶ πόλεμον. (διάψαλμα).

[4] Διότι εις την πόλιν και την χώραν αυτήν συνέτριψε τα πανίσχυρα τόξα των εχθρών, όπλα και ξίφη και πολεμικάς επιχειρήσεις.

[5] φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων·

[5] Οπως ο ήλιος από τα αιωνόβια όρη σκορπίζει το φως του εις ανθρώπους, έτσι και συ, Κυριε, κατά θαυμαστόν τρόπον φωτίζεις με το φως της αληθείας τους καλοπροαίρετους.

[6] ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ, ὕπνωσαν ὕπνον αὐτῶν καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.

[6] Ολοι οι εχθροί σου και εχθροί μας, οι ασύνετοι κατά την καρδίαν Ασσύριοι εκοιμήθησαν τον αιώνιον ύπνον του θανάτου και όλοι αυτοί οι άνδρες, οι οποίοι επεθύμησαν να λαφυραγωγήσουν την Ιερουσαλήμ δια να πλουτίσουν, όταν απέθαναν, δεν είχαν εις τα χέρια των τίποτε από όσα είχαν επιθυμήσει.

[7] ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς ᾿Ιακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.

[7] Μονον με μίαν ιδικήν σου επίπληξιν, ω Θεέ και Κυριε του Ισραηλιτικού λαού, κατελήφθησαν από υπνηλίαν και νάρκην, ανίκανοι να πολεμήσουν οι έφιπποι αυτοί εχθροί σου.

[8] σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου.

[8] Συ είσαι τρομερός· και ποιός δύναται να αντισταθή εις σε από την στιγμήν, κατά την οποίαν θα ανάψη η οργή σου;

[9] ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ ἐφοβήθη καὶ ἡσύχασεν

[9] Από τον ουρανόν εβροντοφώνησες και έκαμες ακουστήν την δικαίαν καταδικαστικήν σου απόφασιν εναντίον των εχθρών. Η γη ολόκληρος εφοβήθη, η δε Ιουδαία ησύχασεν από τους πολέμους.

[10] ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. (διάψαλμα).

[10] Διότι, συ ο Κυριος, ηγέρθης εις καταδίκην των εχθρών σου, δια να σώσης όλους τους πραείς και ταπεινούς δούλους της χώρας, ημάς τους Ιουδαίους.

[11] ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.

[11] Ετσι δε κάθε ανθρωπίνη σκέψις και καρδία, όχι μόνον των πιστών εις σε αλλά και αυτών ακόμη των εχθρών σου, θα έχη μεταστραφή εις δοξολογίαν σου· και τα υπολείμματα ακόμη των πικρών αναμνήσεων, όπως και οι απομένοντες εχθροί, θα πανηγυρίσουν προς δόξαν σου.

[12] εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν· πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα

[12] Σεις, λοιπόν, οι ευσεβείς Ιουδαίοι, κάμετε τάματα προς τον Κυριον και αποδώσατέ τα προς αυτόν ως χρέος οφειλόμενον. Και όλοι επίσης οι γύρω από την χώραν του λαοί θα προσφέρουν δώρα προς αυτόν.

[13] τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

[13] Προς τον φοβερόν Κυριον, ο οποίος αφαιρεί την αναπνοήν και ζωήν των αρχόντων, στον φοβερόν δι' όλους τους βασιλείς της γης.

76

Εἰς τὸ τέλος, ὑπὲρ ᾿Ιδιθούν· ψαλμὸς τῷ ᾿Ασάφ.

[2] (Μασ. 77) ΦΩΝἨ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.

[2] (Μασ. 77) Με φωνήν ισχυραν έκραξα προς τον Κυριον, με έντονον την φωνήν επεκαλέσθην τον Θεόν και εκείνος επρόσεξε την δέησίν μου.

[3] ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην· ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.

[3] Εις περίοδον μεγάλης θλίψεώς μου με πόθον πολύν κατέφυγα προς τον Θεόν. Και κατά τας νύκτας ύψωνα ικετευτικώς τας χείρας μου προς αυτόν και δεν διεψεύσθην εις τας ελπίδας μου. Λογω της πολλής και βαρείας θλίψεώς μου, η ψυχή μου ηρνείτο και απεστρέφετο κάθε παρηγορίαν.

[4] ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην· ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. (διάψαλμα).

[4] Καθε φοράν όμως που κατά το διάστημα της θλίψεώς μου ενεθυμούμην τον Κυριον, εύρισκα γαλήνην και χαράν. Αλλ' όταν ενέστρεφα το βλέμμα μου και ενεβάθυνα εις την συμφοράν μου, ελιποψυχούσε το πνεύμα μου.

[5] προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα.

[5] Αγρυπνα έμεναν τα μάτια μου όλην την νύκτα και επρολάμβαναν τας αλλαγάς των νυκτερινών φρουρών. Κατά τας αϋπνίας μου αυτάς με ετάρασσεν η σκέψις της θλίψεώς μου και έμεινα σιωπηλός.

[6] διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα·

[6] Εσκέφθην έπειτα παλαιάς ενδόξους ημέρας του έθνους μας. Ενεθυμήθην αιώνια έτη, παναρχαίας εποχάς, και εβυθίσθην εις την μελέτην αυτών.

[7] νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου.

[7] Κατά τας νύκτας της αυπνίας μου εσκεπτόμουν και εφιλοσοφούσα. Το πνεύμα μου εσκάλιζε παλαιά και σύγχρονα γεγονότα.

[8] μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;

[8] Εσκέφθην μεταξύ των άλλων, μήπως τάχα ο Κυριος θα μας απομακρύνη από κοντά του, θα μας εγκαταλείψη τελείως και δεν θα θελήση ποτέ πλέον να δείξη προς ημάς την ευμένειάν του και την προστασίαν του;

[9] ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;

[9] Μηπως έχει αποκόψει εξ ολοκλήρου το έλεός του από ημάς; Εθεσε τέρμα εις τας υποσχέσεις της διαθήκης του από τας αρχαίας γενεάς μέχρι της ιδικής μας, ώστε να παύσωμεν πλέον ημείς να είμεθα ο εκλεκτός και περιούσιος λαός του;

[10] μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; (διάψαλμα).

[10] Μηπως ο Θεός θα λησμονήση την ευσπλαγχνίαν του προς ημάς; Μηπως θα συγκρατήση και θα αναστείλη με την οργήν του το έλεός του;

[11] καὶ εἶπα· νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ῾Υψίστου.

[11] Είπα εν συνεχεία από μέσα μου· Τωρα αρχίζω να εννοώ. Η μεταβολή αυτή της καταστάσεώς μας είναι έργον της δεξιάς του Υψίστου Θεού μας.

[12] ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου

[12] Διότι ενεθυμήθην από αρχαίων χρόνων τα έργα του Κυρίου. Τα επαναφέρω και θα επαναφέρω εις την μνήμην μου τα θαυμάσια έργα σου απ' αρχής.

[13] καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.

[13] Θα μελετήσω με πολλήν προσοχήν και σύνεσιν όλα τα έργα σου. θα εμβαθύνω εις τα ολόλαμπρα και ένδοξα κατορθώματά σου.

[14] ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου·

[14] Ω Θεέ, άγιος είναι ο τρόπος της συμπεριφοράς σου

τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

15 σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια, ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου·

16 ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. (διάψαλμα).
17 εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι,

18 πλῆθος ἤχους ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται·
19 φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.
20 ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

21 ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

προς ημάς. Ποιός άλλος θεός είναι μέγας, όπως είσαι συ ο Θεός μας;
15 Συ είσαι ο Θεός μας, ο οποίος έκαμες και κάμνεις τόσον θαυμαστά έργα, ώστε και στους ειδωλολατρικούς ακόμη λαούς να καθιστάς γνωστήν την μεγάλην σου δύναμιν.
16 Συ, ηλευθέρωσες τον ισσραηλιτικόν λαόν σου, τους απογόνους του πατριάρχου Ιακώβ και Ιωσήφ, από την σκληράν δουλείαν των Αιγυπτίων.
17 Τα ύδατα της Ερυθράς Θαλάσσης σε είδαν, ω Θεέ, άλλοτε, σε είδαν αυτά τα ύδατα και ετρόμαξαν. Εταράχθησαν τα κατώτατα βάθη της θαλάσσης, ώστε μεγάλη να ακούεται η βοή των κυμάτων.
18 Βρονταί εξαπελύθησαν από τα σύννεφα, διότι αι αστραπαί εφαίνοντο σαν βέλη να διασχίζουν αυτά.

19 Η βροντερά φωνή σου, Κυριε, αντήχησεν ολόγυρα, αι αναρίθμητοι αστραπαί σου εφώτιζαν την οικουμένην, συνεκλονίσθη εκ θεμελίων και κατετρόμαξεν η γη.
[20] Ετσι δε αντικατέστησαν τον αληθινόν Θεόν, που ήτο δόξα και καύχημά των, με το είδωλον ενός μόσχου, ο οποίος τρώγει και τρέφεται με χορτάρι!

[21] καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σῴζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,

[21] Ελησμόνησαν τον Θεόν, τον σωτήρα των, ο οποίος προς χάριν αυτών είχε κάμει τόσα και τόσα μεγάλα και αξιοθαύμαστα έργα εις την Αίγυπτον·

[22] θαυμαστὰ ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

[22] θαυμαστά έργα εις την χώραν του Χαμ, φοβερά θαύματα εις την Ερυθράν Θαλασσαν.

[23] καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.

[23] Και επάνω εις την δικαίαν του οργήν απεφάσισε και είπεν ο Κυριος να τους εξολοθρεύση· και θα τους εξωλόθρευεν, εάν ο Μωϋσής, ο εκλεκτός αυτός δούλος του, δεν ίστατο ενώπιον του Θεού κατά την εξοντωτικήν εκείνην θραύσιν του Ισραήλ, δια να κατευνάση με την θερμήν παράκλησίν του τον δίκαιον θυμόν του Κυρίου, ώστε να μη εξολοθρεύση εντελώς τους Ισραηλίτας.

[24] καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν, οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ·

[24] Και όταν ολίγον βραδύτερον, τρομοκρατημένοι από τας υπερβολικάς διηγήσεις των δέκα κατασκόπων, κατεφρόνησαν την επιθυμητήν γην, την γην της Επαγγελίας, και δεν επίστευσαν στον λόγον του Κυρίου, ότι θα εγίνετο εκείνη με την ιδικήν του βοήθειαν ιδική των,

[25] καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.

[25] εγόγγυσαν μέσα εις τας σκηνάς των και δεν έδωσαν προσοχήν εις τας τόσας και τόσας φοράς τους είχεν υποσχεθή ο Κυριος.

[26] καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ᾽ αὐτοὺς τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ
[27] καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.
[28] καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ καὶ ἔφαγον θυσίας νεκρῶν·

[29] καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.
[30] καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις·

[31] καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.
[32] καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας καὶ ἐκακώθη Μωυσῆς δι᾽ αὐτούς,

[33] ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.
[34] οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς,

[35] καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν·

[36] καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον·
[37] καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις
[38] καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναὰν καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι

[39] καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
[40] καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐβδελύξατο τὴν

[26] Δικαίως ωργισμένος ο Κυριος ύψωσε την τιμωρόν χείρα του, να τους συντρίψη και τους εξοντώση εκεί εις την έρημον·
[27] να καταβάλη και διασπείρη ταπεινωμένους τους απογόνους των ανάμεσα, εις τα αλλά έθνη και να τους διασκορπίση μεταξύ των ξένων χωρών.

[28] Ελαβον μέρος εις τας αποκρουστικάς και αηδιαστικάς τελετάς του ειδωλολατρικού θεού Βεελφεγώρ και έφαγον από τας θυσίας θεών, που είναι ανύπαρκτοι και νεκροί.
[29] Εξόργισαν τον Κυριον με τα πονηρά αυτών έργα και ένεκα τούτου πολύ πλήθος από αυτούς έπεσαν νεκροί, κτυπημένοι από την δικαίαν άργήν του Θεού.
[30] Γεμάτος όμως ζήλον Θεού ο Φινεές εξηγέρθη εναντίον των παρανομούντων, εξιλέωσε τον Κυριον και έτσι εσταμάτησεν η θραύσις εναντίον των Ισραηλιτών.
[31] Η πράξις του αυτή κατελογίσθη ως πράξις δικαία, αξία να επαινήται και να υμνήται από γενεάς εις γενεάν μέχρι συντελείας του αιώνος.
[32] Και πάλιν εξώργισαν τον Κυριον στον τόπον, που είχεν ονομασθή ύδωρ αντιλογίας, και εξ αιτίας αυτών ετιμωρήθη ο Μωϋσής, ώστε να μη αξιωθή της χαράς να εισέλθη εις την γην της Επαγγελίας.
[33] Διότι εκείνοι επίκραναν και ανετάραξαν το πνεύμα του Μωϋσέως, ώστε αυτός ομίλησε με δισταγμόν και ολιγοπιστίαν.
[34] Και όταν οι πρόγονοί μας κατέλαβαν την γην της Επαγγελίας, δεν εξωλόθρευσαν τα έθνη, τα οποία ο ίδιος ο Θεός τους είχε διατάξει να εξοντώσουν.
[35] Ηλθαν εις επικοινωνίαν με αυτούς, συνήψαν συνοικέσια με τα έθνη αυτά και έμαθαν να πράττουν τα πονηρά έργα εκείνων.
[36] Εγιναν αξιοδάκρυτοι δούλοι και προσκυνηταί εις τα είδωλα των εθνών. Αυτό δε έγινεν αιτία να περιπέσουν αυτοί εις πολλάς περιπετείας και θλίψεις.
[37] Εθυσίασαν τους υιούς των και τας θυγατέρας των εις τα δαιμόνια, εις τα είδωλα.

[38] Εχυσαν αίμα αθώον, το αίμα δηλαδή των υιών και των θυγατέρων των, που εθυσίασαν εις τα γλυπτά είδωλα των Χαναναίων, και έτσι η ιερά γη των εγέμισε με το αδικοχυμένον αίμα των αθώων παιδιών των.
[39] Εμολύνθη η γη με τα αποκρουστικά αυτά έργα των και αυτοί εξετράπησαν εις την πορνείαν με τα αμαρτωλά και αηδιαστικά έργα των.
[40] Δια τούτο ωργίσθη πολύ ο Κυριος εναντίον αυτού του λαού, εσιχάθηκε την κληρονομίαν του.

κληρονομίαν αὐτοῦ·
41 καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.
42 καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.
43 πλεονάκις ἐρρύσατο αὐτούς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

44 καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν·

45 καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ
46 καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.
47 σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

48 εὐλογητὸς Κύριος ὁ Θεὸς ᾿Ισραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. καὶ ἐρεῖ πᾶς ὁ λαός· γένοιτο γένοιτο.

41 Τους παρέδωκε δούλους εις τα χέρια των εχθρών των και εκείνοι οι οποίοι τους εμισούσαν, έγιναν κύριοι και αυθένται των.
42 Οι εχθροί αυτοί τους κατέθλιψαν και έτσι οι Ισραηλίται κάτω από την τυραννίαν εκείνων εταπεινώθησαν και εξηυτελίσθησαν.
43 Αλλά πολλές φορές ο Κυριος τους εγλύτωσεν από κινδύνους ολεθρίους. Αυτοί όμως πολλές φορές τον επίκραναν με τας παρανόμους επιθυμίας και αποφάσεις των και εξηυτελίσθησαν μέσα εις τας παρανομίας των.
44 Καθ' ον χρόνον όμως εταλαιπωρούντο και κατεθλίβοντο εις τας περιπετείας των αυτάς, ο Κυριος έρριξε ευμενές βλέμμα προς αυτούς, ώστε να ακούση και να κάμη δεκτήν την προσευχήν των.
45 Ενεθυμήθη την υπόσχεσιν, την οποίαν είχε δώσει προς τους πατριάρχας, και κατά το άπειρον αυτού έλεος ελυπήθη δια τα δεινά του λαού του.
46 Ενέπνευσεν οίκτον και έλεος υπέρ αυτών εις τας καρδίας εκείνων, που τους είχαν αιχμαλωτίσει.

47 Και ημείς, οι ταλαιπωρημένοι απόγονοι εκείνων, σε παρακαλούμεν, Κυριε και Θεέ μας, σώσε μας και συνάθροισέ μας πάλιν από τα διάφορα έθνη ελευθέρους εις την πατρίδα μας, δια να δοξολογήσωμεν το άγιον Ονομά σου και δια να έχωμεν το θάρρος και το δικαίωμα να καυχώμεθα, ότι λατρεύομεν και ύμνούμεν σε, τον αληθινόν και άγιον Θεόν μας.
48 Δοξασμένος ας είναι ο Κυριος, ο Θεός του ισραηλιτικού λαού στους αιώνας των αιώνων. Και όλος ο λαός ας αναφωνήση "γένοιτο, γένοιτο".

106

᾿Αλληλούϊα.
1 (Μασ. 107) ΕΞΟΜΟΛΟΓΕΙΣΘΕ τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

2 εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.
3 ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης.
4 ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν γῇ

1 (Μασ. 107) Δοξολογείτε και ευχαριστείτε τον Κυριον δια το άπειρον αυτού μεγαλείον και τας αναριθμήτους ευεργεσίας του, διότι είναι αγαθός και ευεργετικός, η δε ευσπλαγχνία του παραμένει ανεξάντλητος στους αιώνας των αιώνων.
2 Ας διαλαλήσουν εκείνοι, που έχουν λυτρωθή υπό του Κυρίου, αυτοί τους οποίους απηλευθέρωσεν ο Κυριος από την εξουσίαν του εχθρού,
3 και από τας διαφόρους ξένας χώρας τους επανέφερεν εις την πατρίδα των, από ανατολών και δυσμών, από βορρά και νότου.
4 Περιεπλανήθησαν εις την έρημον, εις περιοχήν, η

ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον,

οποία ήτο άνυδρος και δεν έβρισκαν δρόμον, που θα τους ωδηγούσεν εις πόλιν κατοικουμένην, δια να εύρουν στέγην και τροφήν.

5 πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπε·

5 Πεινώντες και διψώντες περιπλανώντο εις την έρημον, η δε ζωη των εκινδύνευε να σβήση και να λείψη.

6 καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτοὺς

6 Μέσα εις την θλίψιν των αυτήν έκραξαν δια της προσευχής των προς τον Κυριον και τους εγλύτωσεν από τας συμφοράς εκείνας.

7 καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

7 Τους ωδήγησεν στον ευθύν δρόμον, δια να μεταβούν εις πάλιν κατοικουμένην.

8 ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,

8 Ας δοξολογήσουν, λοιπόν, αυτοί τον Κυριον δια τας πολυαρίθμους προς αυτούς ευεργεσίας του και ας διακηρύξουν τα θαυμαστά αυτού έργα εις τους άλλους ανθρώπους.

9 ὅτι ἐχόρτασε ψυχὴν κενὴν καὶ πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

9 Διότι ο Κυριος εχόρτασε ψυχήν, που είχεν αδειάσει και εξαντληθή από την στέρησιν, και τους πεινώντας τους εγέμισεν από αγαθά.

10 καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ,

10 Το ίδιον έκαμε και εις τους φυλακισμένους, που ευρίσκοντο εις σκοτεινήν φυλακήν, εκεί όπου τους εβάρυνεν η σκια του θανάτου. Ησαν αυτοί δεμένοι χέρια και πόδια με σιδηρά δεσμά. Εζούσαν με στερήσεις και ταλαιπωρίας.

11 ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ ῾Υψίστου παρώξυναν,

11 Τούτο δέ, διότι είχαν πικράνει τον Κυριον με τας παραβάσεις των αγίων εντολών του. Εξώργισαν τον Υψιστον και αντετάχθησαν εις τα αγαθά αυτού δι' εκείνους σχέδια.

12 καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν·

12 Από τους πολλούς κόπους και τας ταλαιπωρίας της δουλείας εταπεινώθη και έχασε κάθε θάρρος η καρδία των, εξηντλήθησαν και παρέλυσαν, χωρίς να υπάρχη κανείς, δια να τους βοηθήση.

13 καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτοὺς

13 Υπό το κράτος όμως της τρομεράς αυτής καταθλίψεως έκραξαν δια της προσευχής των προς τον Κυριον και ο σπλαγχνικός Κυριος τους έσωσεν από τας ταλαιπωρίας των.

14 καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.

14 Τους έβγαζεν έξω από την σκοτεινήν φυλακήν, από την καταθλιπτικήν σκιαν του θανάτου. Εσπασε τα δεσμά από τα χέρια και τα πόδια των και τους ηλευθέρωσε.

15 ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,

15 Ας δοξολογήσουν, λοιπόν, αυτοί με ευγνομοσύνην τον Κυριον δια τα ελέη και τας ευεργεσίας του και ας διαλαλήσουν εις τους άλλους ανθρώπους το θαυμάσια έργα του Θεού.

16 ὅτι συνέτριψε πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.

16 Διότι ο Κυριος, εν τη αγαθότητί του, συνέτριψε τας χαλκίνας πύλας των φυλακών των και τους σιδηρούς μοχλούς τους εθρυμμάτισε.

17 ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν·

17 Τους ανέσυρεν ο Κυριος με την παντοδυναμον δεξιάν του από τον δρόμον των παρανομιών των, διότι αυτοί εξ αιτίας των παρανομιών των υπέστησαν

αυτάς τας ταπεινώσεις.

18 πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου·

18 Εξ αιτίας των φοβερών ταλαιπωριών των εκόπηκεν η όρεξίς των. Απεστρέφοντο με αηδίαν κάθε φαγητόν και έφθασαν έτσι έως εις τας πύλας του άδου.

19 καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς,

19 Αλλά καθ' ον χρόνον τόσον πολύ εθλίβοντο, έκραξαν με θερμήν προσευχήν προς τον Κυριον και ο Κυριος τους απήλλαξεν από τας φοβεράς αυτάς ανάγκας των.

20 ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

20 Ως διαταγήν έστειλε τον λόγον του, ο οποίος και τους εθεράπευσε. Τους έσωσεν από τα κακά, τα οποία τους έφθειραν και τους έλυωναν.

21 ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων

21 Ας δοξολογήσουν, λοιπόν, και αυτοί με ευγνωμοσύνην τας αμετρήτους ευεργεσίας του Θεού και ας διαλαλήσουν στους άλλους ανθρώπους τας θαυματουργικάς ενεργείας εκείνου.

22 καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

22 Ας προσφέρουν προς αυτόν θυσίαν δοξολογίας και ας βροντοφωνήσουν τα έργα του γεμάτοι αγαλλίασιν και ευφροσύνην.

23 οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς,

23 Επίσης αυτοί, που κατεβαίνουν εις την θάλασσαν και ταξιδεύουν με πλοία και διασχίζουν πελάγη μεγάλα, όπου η εργασία των τους καλεί,

24 αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

24 αυτοί είδαν τα έργα του Κυρίου και τα θαυμάσια αυτού εις τας βαθείας θαλάσσας.

25 εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς·

25 Είδον ότι ο Κυριος διέταξε και αμέσως εσηκώθη σφοδρός καταιγίδος άνεμος και ανυψώθησαν τα κύματα της θαλάσσης.

26 ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων, ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο·

26 Ανεβαίνουν με τα πλοία των επάνω εις την κορυφήν των κυμάτων έως εις τα νέφη του ουρανού και καταβαίνουν έως εις τα βάθη των θαλασσίων αβύσσων. Η ψυχή των έλυωνε από φόβον εμπρός εις τα φοβερά αυτά σημεία.

27 ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη·

27 Κατελήφθησαν από ζάλην, ετρίκλιζαν εξ αιτίας της τρικυμίας ωσάν μεθυσμένοι, όλη δε η ναυτική των γνώσις και πείρα απεδείχθη άχρηστος, εξηφανίσθη.

28 καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτοὺς

28 Εκραξαν και αυτοί προς τον Κυριον, καθ' ον χρόνον εταλαιπωρούντο από την τρικυμίαν, και ο Κυριος τους έβγαλεν από την επικίνδυνον αυτήν περιπέτειάν των.

29 καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς·

29 Διότι διέταξε την καταιγίδα της θαλάσσης και εσταμάτησε και μετεβλήθη εις λεπτήν ευχάριστον αύραν. Και ηρέμησαν τα κύματα της θαλάσσης.

30 καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ.

30 Οι ναύται και όσοι άλλοι ήσαν εις τα πλοία εγέμισαν από χαράν και ευφροσύνην, διότι ησύχασαν από την ταραχήν της τρικυμίας. Και ο Κυριος τους ωδήγησεν ασφαλείς στον λιμένα, που ήθελε.

31 ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

31 Ας δοξολογήσουν, λοιπόν, και αυτοί τον Κυριον δια τα πολυάριθμα ελέη του. Ας διαλαλήσουν και στους άλλους ανθρώπους τα θαυμάσια αυτού έργα.

[32] ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

[32] Ας τον μεγαλύνουν και ας τον εξυψώσουν εις συγκέντρωσιν πλήθους λαού και ας ψάλουν προς αυτόν αίνον και ωδήν δοξολογίας, εις τόπον οπού συνεδριάζουν οι πρεσβύτεροι και οι άρχοντες.

[33] ἔθετο ποταμοὺς εἰς ἔρημον καὶ διεξόδους ὑδάτων εἰς δίψαν,

[33] Αυτός εξήρανε ποταμούς και μετέβαλε τας κοίτας αυτών εις έρημον περιοχήν, και τας πηγάς, από όπου ανέβλυζαν άφθονα ύδατα, μετέβαλεν εις έκτασιν άνυδρον και διψασμένην.

[34] γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

[34] Μετέβαλε γην εύφορον και καρποφόρον εις αλμυρόν βάλτον εξ αιτίας της κακίας των κατοίκων της.

[35] ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

[35] Εξ αντιθέτου μετέβαλε χώραν άνυδρον, έρημον και άγονον, εις λίμνας υδάτων και χώραν διψασμένην εις πηγάς υδάτων.

[36] καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας

[36] Εκεί ο Κυριος εγκατέστησεν ανθρώπους, οι οποίοι επεινούσαν και οι οποίοι έκτισαν πόλεις, δια να κατοικούν.

[37] καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας καὶ ἐποίησαν καρπὸν γεννήματος,

[37] Εσπειραν εκεί αγρούς, εφύτευσαν αμπέλια, παρήγαγαν γεννήματα και καρπούς από τα καλλιεργηθέντα εδάφη.

[38] καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.

[38] Ο Κυριος τους ηυλόγησε και επληθύνθησαν αυτοί πάρα πολύ, και τα κατοικίδια ζώα των έγιναν πολυάριθμα.

[39] καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.

[39] Εν τω μεταξύ ωλιγόστευσαν εις αριθμόν, διότι εκακοπάθησαν και εδεινοπάθησαν, από τους πόνους και τας συμφοράς, τας οποίας κακοί άνθρωποι, που επήλθον εναντίον των, τους επροκάλεσαν.

[40] ἐξεχύθη ἐξουδένωσις ἐπ᾽ ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

[40] Αλλά από τον Θεόν εξαπεστάλη εκμηδένισις και εξευτελισμός εναντίον των αρχόντων· τους ηνάγκασε να πλανώνται εις μέρη άβατα και όχι εις δρόμον βατόν και γνωστόν.

[41] καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας καὶ ἔθετο ὡς πρόβατα πατριάς.

[41] Εβοήθησεν ο Θεός τον πτωχόν λαόν, δια να απαλλαγή από την πτωχείαν, η οποία τον εμάστιζεν, και αποκατέστησε τας οικογενείας των πολυπληθείς ωσάν ποίμνια προβάτων.

[42] ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

[42] Οι δίκαιοι άνθρωποι θα ίδουν όλα αυτά τα θαυμάσια έργα της αγαθότητας, της δικαιοσύνης και της παντοδυναμίας του Θεού και θα ευφρανθούν. Εξ αντιθέτου όμως κάθε παράνομος θα κλείση το στόμα του κατεντροπιασμένος.

[43] τίς σοφὸς καὶ φυλάξει ταῦτα καὶ συνήσει τὰ ἐλέη τοῦ Κυρίου;

[43] Ποιός είναι σοφός και συνετός άνθρωπος, ο οποίος θα τηρήση αυτά και θα κατανοήση την άπειρον ευσπλαγχνίαν του Κυρίου;

107

᾽Ωδὴ ψαλμοῦ τῷ Δαυΐδ.

[2] (Μασ. 108) ΕΤΟΙΜΗ ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου,

[2] (Μασ. 108) Είναι έτοιμη η καρδιά μου, ω Θεέ μου, είναι έτοιμη, δια να ψάλλω με την φωνήν μου προς

ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

δόξαν σου, να παίζω μουσικά όργανα με όλην μου την ψυχήν.

[3] ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου.

[3] Σηκω επάνω, ψυχή μου, και σεις μουσικά μου όργανα, λύρα και κιθάρα, σηκωθήτε, δια να υμνολογήσετε τον Θεόν. Ναι, θα σηκωθώ λίαν πρωϊ δια να ψάλλω προς τον Θεόν μου.

[4] ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν,

[4] Θα σε δοξολογήσω, Κυριε, εν μέσω λαών. Θα ψάλλω εις δόξαν σου εν μέσω των άλλων εθνών.

[5] ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

[5] Διότι η ευσπλαγχνία σου είναι μεγάλη και απροσμέτρητρς. Υψώνεται υπεράνω από τους ουρανούς. Μέχρι των νεφελών φθάνει η αλήθειά σου και η αξιοπιστία σου.

[6] ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

[6] Ας υψωθή το μεγαλείον σου επάνω στους ουρανούς, ω Θεέ μου, και η δόξα σου ας απλωθή εις ολόκληρον την οικουμένην.

[7] ὅπως ἂν ρυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

[7] Καμε αισθητήν την ένδοξον εμφάνισίν σου, Κυριε, δια να γλυτώσουν οι αγαπητοί σου Ιουδαίοι από τους κινδύνους. Με την παντοδύναμον δεξιάν σου σώσον με και κάμε δεκτήν την προσευχήν μου.

[8] ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω·

[8] Ο Θεός απήντησε με επισημότητα. Ελάλησεν εκεί στο άγιον θυσιαστήριόν του και είπε· Θα δείξω το μεγαλείον και την δύναμίν μου, θα διαμοιράσω εις σας την Συχέμ, που ευρίσκεται προς δυσμάς του Ιορδάνου, θα μετρήσω και θα σας παραχωρήσω την κοιλάδα των σκηνών, που ευρίσκεται πέραν του Ιορδάνου. Ολόκληρον την Παλαιστίνην θα την μετρήσω και θα την χαρίσω εις σας.

[9] ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου, Ἰούδας βασιλεύς μου,

[9] Διότι εις εμέ ανήκει η χώρα Γαλαάδ. Ιδική μου χώρα είναι η περιοχή Μανασσή η πέραν του Ιορδάνου. Η εντεύθεν του Ιορδάνου φυλή του Εφραίμ, η προστασία και το κράνος της κεφαλής μου, όπως επίσης και η φυλή Ιούδα, από την οποίαν προέρχονται οι βασιλείς του λαού μου.

[10] Μωὰβ λέβης τῆς ἐλπίδος μου, ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

[10] Οι Μωαβίται θα ταπεινωθούν, θα γίνουν λεκάνη ποδονιψίματος δια τον ελπιδοφόρον λαόν μου, και στους Ιδουμαίους θα απλώσω την κυριαρχίαν μου. Εις εμέ θα υποταχθούν οι Φιλισταίοι.

[11] τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

[11] Αυτά είπες, Κυριε. Ποιός τώρα θα με φέρη νικητήν εις περιτειχισμένην πόλιν, όπως είναι η πρωτεύουσα της Ιδουμαίας; Ποιός θα με οδηγήση έως εις την χώραν τήίς Ιδουμαίας;

[12] οὐχὶ σύ, ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν;

[12] Συ, Κυριε, δεν θα είσαι ο οδηγός μου, συ ο οποίος προηγουμένως μας είχες απομακρύνει από κοντά σου; Συ ο Θεός μου δεν θα εξέλθης μαζή με τας στρατιωτικάς μας δυνάμεις, δια να μας οδηγήσης εις νίκας;

[13] δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

[13] Δος μας, λοιπόν, βοήθειαν εις την παρούσαν θλίψιν, διότι είναι μάταιον να περιμένωμεν σωτηρίαν και βοήθειαν από ανθρώπους.

[14] ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν,

[14] Με την βοήθειαν του Θεού θα ενεργήσωμεν με

καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

δύναμιν και θα νικήσωμεν. Και αυτός μόνος θα εκμηδενίση και θα εξευτελίση τους εχθρούς μας.

108 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.

[1] (Μασ. 109) Ο Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς,

[1] (Μασ. 109) Ω Θεέ μου, μη σιωπήσης εμπρός εις την προσευχήν, την οποίαν μετά δοξολογίας απευθύνω προς σέ.

[2] ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ᾽ ἐμὲ ἠνοίχθη, ἐλάλησαν κατ᾽ ἐμοῦ γλώσσῃ δολίᾳ
[3] καὶ λόγοις μίσους ἐκύκλωσάν με καὶ ἐπολέμησάν με δωρεάν.
[4] ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην·
[5] καὶ ἔθεντο κατ᾽ ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.
[6] κατάστησον ἐπ᾽ αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ·

[2] Διότι στόμα αμαρτωλού και δολίου ανθρώπου ηνοίχθη εναντίον μου. Ανδρες ασεβείς και πονηροί εστράφησαν εναντίον μου με δολίαν γλώσσαν.
[3] Με περιεκύκλωσαν με λόγια μίσους και με πολεμούν χωρίς καμμίαν αιτίαν και αφορμήν.
[4] Αντί να με αγαπούν δια την καλωσύνην μου, με συκοφαντούσαν· εγώ δε προσηυχόμην δι' αυτούς.
[5] Μου ανταπέδωσαν κακά αντί αγαθών και μίσος αντί της αγάπης, που έτρεφα προς αυτούς.

[6] Βαλε ασεβή και σκληρόν αυθέντην επάνω εις την κεφαλήν του κυρίως υπευθύνου δια την άδικον αυτήν καταφοράν και από τα δεξιά του ας σταθή διαβολικός κατήγορος.
[7] ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

[7] Οταν αυτός θα δικάζεται, είθε να εξέλθη καταδικασμένος και η προσευχή, την οποίαν εις την ώραν αυτήν της ανάγκης θα κάμη, ας καταλογισθή εις αυτόν ως αμαρτία και ας γίνη εις καταδίκην του.
[8] γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.
[9] γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ καὶ ἡ γυνὴ αὐτοῦ χήρα·
[10] σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.
[11] ἐξερευνησάτω δανειστὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ·
[12] μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ·
[13] γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.
[14] ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ

[8] Αι ημέραι της ζωής του ας γίνουν ολίγαι και το αξίωμά του είθε να το πάρη άλλος.
[9] Ορφανά και απροστάτευτα ας μείνουν τα παιδιά του, χήρα ας μείνει η γυναίκα του.
[10] Τα παιδιά του από τόπου εις τόπον μεταφερόμενα ας γίνουν επαίται. Ας εκδιωχθούν από τα κρημνισμένα σπίτια των.
[11] Ο δανειστής ας ερευνήση και ας καταγράψη όλα όσα ανήκουν εις αυτόν, και ξένοι άνθρωποι ας διαρπάσουν τους κόπους των χειρών του.
[12] Ας μη υπάρξη άνθρωπος να τον βοηθήση εις την συμφοράν του αυτήν, ούτε κανείς δια να λυπηθή τα ορφανά του.
[13] Ας εξολοθρευθούν τα παιδιά του, ώστε το όνομά του να σβήση, χωρίς να φθάση εις δεύτερον γενεάν τέκνων.
[14] Είθε να μείνουν ολοφάνεροι και αλησμόνητοι ενώπιον του Κυρίου, οχι μόνον αι ιδικαί του αμαρτίαι αλλά και αι αμαρτίαι των προγόνων του. Ας μη

ἐξαλειφθείη·

διαγραφούν όσα ημάρτησεν η μητέρα του, ώστε και δια τας προγονικάς παραβάσεις να τιμωρηθή εκ μέρους του Θεού.

15 γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν,

15 Ας παραμένουν πάντοτε ενώπιον του Κυρίου όλαι αυταί αι αμαρτίαι, δια να επισύρουν την θείαν οργήν, ώστε να εξολοθρευθή οπό τας κοινωνίας των ανθρώπων η μνήμη αυτού, με τους προγόνους και τους απογόνους του.

16 ἀνθ᾽ ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

16 Διότι δεν εσκέφθη και δεν απεφάσισε να φανή εύσπλαγχνος, αλλά τουναντίον κατεδίωξεν άνθρωπον δυστυχή, πτωχόν, καταλυπημένον εις την καρδίαν, δια να τον εξοντώση.

17 καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ᾽ αὐτοῦ.

17 Ο εχθρός μου ηγάπησε την κατάραν, και θα πέση επάνω του αυτή. Δεν ηθέλησε την ευλογίαν και δια τούτο η ευλογία θα απομακρυνθή από αυτόν.

18 καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

18 Ως άλλο ένδυμα εφόρεσε και έφερε μαζή του την κατάραν και αυτή εισήλθεν στο εσωτερικόν του, όπως το ύδωρ που πίνομεν, όπως το έλαιον που τρώγομεν και το οποίον εισέρχεται μέχρι των οστών.

19 γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται.

19 Η κατάρα ας γίνη δι' αυτόν, αφού το θέλει, ως ένδυμα, το οποίον φορεί, και ωσάν ζώνη, με την οποίαν πάντοτε είναι ζωσμένος.

20 τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

20 Αυτο είναι το τραγικόν κατάντημα εκ μέρους του Κυρίου εναντίον εκείνων γενικώς, οι οποίοι με συκοφαντούν και λαλούν πονηρά και παράνομα κατά της ψυχής μου.

21 καὶ σύ, Κύριε Κύριε, ποίησον μετ᾽ ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. ῥῦσαί με,

21 Συ, Κυριέ μου Κυριε, ενέργησε κατά τέτοιον τρόπον, ώστε να φανή, ότι είσαι πράγματι μαζή μου. Βοήθησέ με ένεκεν του Ονόματός σου, που εκφράζει έλεος και ευσπλαγχνίαν. Αγαθή και ευεργετική είναι η ευσπλαγχνία σου.

22 ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

22 Λυτρωσέ με, διότι εγώ είμαι πτωχός και ταλαιπωρημένος, και η καρδία μου έχει συγκλονισθή εντός μου.

23 ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

23 Οπως η σκια κατά την δύσιν του ηλίου κλίνει και σβήνει, έτσι και εγώ κινδυνεύω να χαθώ. Οπως αι ακρίδες εκτινάσσονται από τον σφοδρόν άνεμον, έτσι και εγώ τινάσσομαι και ωθούμαι από την δυστυχίαν μου.

24 τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι᾽ ἔλαιον.

24 Τα γόνατά μου από την πείναν και την ασιτίαν έχουν εξασθενήσει, όλη δε η εμφάνισίς μου έχει αλλοιωθή από την έλλειψιν λαδιού· έγινα αγνώριστος.

25 κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

25 Κατήντησα αντικείμενον χλευασμού και ύδρεων στους εχθρούς μου. Αυτοί με είδαν και ευχαριστήθησαν. Εκίνησαν εμπαικτικώς τας κεφαλάς των εναντίον μου.

26 βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.

26 Βοήθησέ με, λοιπόν, Κυριε και Θεέ μου, και σώσε με από τα χέρια αυτών, σύμφωνα με το αμέτρητον

έλεός σου.

[27] καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.
[27] Ας μάθουν ότι η σωτηρία μου είναι έργον της παντοδυνάμου δεξιάς σου. Συ επραγματοποίησες την λύτρωσίν μου.

[28] καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.
[28] Εκείνοι θα καταρώνται, συ όμως θα με ευλογής. Ετσι δε οι εχθροί, που επαναστατούν εναντίον μου, θα κατεντροπιασθούν και θα εξευτελισθούν, εγώ δε ο δούλός σου θα ευφρανθώ δια τας δωρεάς σου.

[29] ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.
[29] Οι συκοφάνται μου ας ενδυθούν ως μόνιμον ισοβιον ένδυμα την εντροπήν. Ας περιβληθούν μόνιμον την καταισχύνην, ωσάν πλατύν μανδύαν με πολλάς περιτυλίξεις.

[30] ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν,
[30] Εγώ δε θα δοξολογήσω τον Κυριον με όλην μου την δύναμιν δια του στόματός μου. Εν μέσω πολλών άλλων θα υμνολογήσω αυτόν.

[31] ὅτι παρέστη ἐκ δεξιῶν πένητος τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.
[31] Διότι παρεστάθη βοηθός εκ δεξιών εμού του πτωχού, δια να σώση την ζωήν μου από εκείνους, που με καταδιώκουν.

109

Ψαλμὸς τῷ Δαυΐδ.

[1] (Μασ. 110) ΕΙΠΕΝ ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
[1] (Μασ. 110) Είπεν ο Κυριος και Θεός μου προς τον Κυριον και Θεόν μου, προς τον Μεσσίαν· Καθησαι εις τα δεξιά του θρόνου μου και εγώ θα θέσω όλους τους εχθρούς σου ως υποπόδιον των ποδών σου.

[2] ράβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.
[2] Και ο Δαυίδ λαβών την αποκάλυψιν αυτήν λέγει προς τον Μεσσίαν· Βασιλικήν ράβδον ακατανικήτου δυνάμεως θα χορηγήση εις σε ο Κυριος από την αγίαν Σιών. Κυριάρχησε, λοιπόν, και μένε κύριος και εξουσιαστής εν μέσω των εχθρών σου.

[3] μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.
[3] Μαζή σου, αναφαίρετος και προαιωνία, είναι η απόλυτος εξουσία και κυριαρχία, την οποίαν κυρίως κατά την ημέραν της επιφανείας σου θα εκδηλώσης εν μέσω της λαμπρότητος των αγίων, αγγέλων και ανθρώπων. Ο Θεός και Πατήρ λέγει προς τον Μεσσίαν· Από τους κόλπους μου, από την ιδίαν την ουσίαν μου, πριν από τον αυγερινόν και τα άλλα αστέρια, προαιωνίως και αϊδίως, σε έχω γεννήσει.

[4] ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
[4] Και ο Δαυίδ λέγει· Ο Κυριος ωρκίσθηκε και δεν πρόκειται να αλλάξη γνώμην. Συ, ο Μεσσίας είσαι αρχιερεύς στους αιώνας των αιώνων, κατά την τάξιν του Μελχισεδέκ.

[5] Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς·
[5] Ο Κυριος, ο συμπαραστάτης και βοηθός σου εκ δεξιών σου, θα συντρίψη κατά την ημέραν της οργής του τους βασιλείς της γης, που θα πάρουν εχθρικήν στάσιν απέναντί σου.

[6] κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.
[6] Θα κρίνη και θα καταδικάση όλα τα αμαρτωλά και ασεβή έθνη, θα γεμίση με πτώματα την οικουμένην, θα συντρίψη τας κεφαλάς πολλών αρχόντων της γης.

[7] ἐκ χειμάρρου ἐν ὁδῷ πίεται· διὰ τοῦτο ὑψώσει κεφαλήν.

[7] Ο Μεσσίας αγωνιζόμενος υπέρ του λαού του θα πίη με απλότητα νερό από τον χείμαρρον. Δια δε την κακοπάθειάν του αυτήν και την ταπείνωσιν θα τον αναδείξη και θα τον δοξάση ο Κυριος.

110

ʼΑλληλούϊα.
(Μασ. 111) ΕΞΟΜΟΛΟΓΗΣΟΜΑΙ σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.
[2] μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ·

[3] ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
[4] μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ, ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος·

[5] τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν, μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.

[6] ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.

[7] ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ,

[8] ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.
[9] λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.

[10] ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[1] (Μασ. 111) Θα σε δοξολογήσω, Κυριε, με όλην μου την ψυχήν εν μέσω εκλεκτών και εναρέτων ανθρώπων, αλλά και εις πολυπληθή σύναξιν πιστών.

[2] Μεγάλα και αξιοθαύμαστα είναι τα έργα του Κυρίου· ωλοκληρωμένα λεπτομερώς με κάθε σοφίαν και αγαθότητα, σύμφωνα με το σοφόν και αγαθόν θέλημά του.
[3] Το κάθε έργον του είναι μαρτυρία και διακήρυξις της δόξης και της μεγαλοπρεπείας του. Η δικαιοσύνη του παραμένει λαμπρά και αναλλοίωτος στους αιώνας των αιώνων.
[4] Ο Κυριος διέταξε τους γονείς να ενθυμούνται οι ίδιοι, να διδάσκουν δε και εις τα παιδιά των τα θαυμάσια αυτού έργα. Ο Κυριος, ο οποίος έκαμε τα εξαίρετα αυτά έργα, είναι σπλαγχνικός και οικτίρμων.
[5] Αυτός έδωσε τροφήν το μάνα στους σεβομένους το Ονομά του. Θα ενθυμήται πάντοτε την διαθήκην του, δια της οποίας υπεσχέθη να προστατεύη τον λαόν του.
[6] Την δύναμιν των μεγάλων και καταπληκτικών έργων του ανήγγειλε και κατέστησε γνωστήν στον λαόν του, με το να δώση εις αυτόν κληρονομίαν τα ειδωλολατρικά έθνη, την χώραν της Παλαιστίνης.
[7] Τα έργα των χειρών του διακηρύττουν πάντοτε την φιλαλήθειάν του, την πιστότητά του, την δικαιοκρισίαν του. Αξιόπιστοι και ασάλευτοι είναι όλαι αι εντολαί του,
[8] θεμελιωμέναι και ακλόνητοι στον αιώνα του αιώνος. Είναι θεσπισμέναι και περιέχουν αλήθειαν και ευθύτητα, χωρίς ίχνος ψεύδους και ιδιοτελείας.
[9] Λυτρωσιν, απελευθέρωσιν από την σκληράν δουλείαν των Αιγυπτίων, έστειλεν ο Κυριος στον λαόν του. Εδωσεν επί του όρους Σινά τον αιώνιον Νομον του. Αγιον και σεβαστόν είναι πάντοτε το Ονομά του.
[10] Αρχή και θεμέλιον της πραγματικής σοφίας είναι η ευλάβεια και ο σεβασμός προς τον Κυριον, η δε σύνεσις είναι ωφέλιμος μόνον εις εκείνους, οι οποίοι την εφαρμόζουν και ζουν σύμφωνα με αυτήν. Η δοξολογία προς τον Κυριον μένει και πρέπει να μένη εις πάντας τους αιώνας.

111 ᾽Αλληλούϊα.

[1] (Μασ. 112) ΜΑΚΑΡΙΟΣ ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα·

[1] (Μασ. 112) Τρισευτυχισμένος και ευλογημένος είναι ο άνθρωπος, ο οποίος σέβεται και ευλαβείται τον Κυριον. Αυτός με όλην του την θέλησιν θα ποθή να γνωρίζη και να εφαρμόζη τον νόμον του Θεού.

[2] δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται.

[2] Ισχυροί και ακατανίκητοι θα είναι οι απόγονοί του στον κόσμον αυτόν. Ως γενεά δε δικαία θα έχουν την ευλογίαν του Θεού.

[3] δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[3] Η δόξα και ο πλούτος θα υπάρχουν εις την οικογένειάν του και η δικαιοσύνη αυτού θα παραμένη εις αιώνα αιώνος.

[4] ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.

[4] Μέσα στο σκότος της αγνοίας και της πλάνης και των δυσχερών περιστάσεων έλαμψε παρά Θεού το φως της αληθινής γνώσεως στους ευθείς κατά την καρδίαν. Διότι ο Κυριος είναι ελεήμων, οικτίρμων και δίκαιος.

[5] χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν· οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει,

[5] Αγαθός και χρήσιμος στους περί αυτόν είναι ο άνθρωπος εκείνος, που σπλαγχνίζεται τους άλλους, και τους δανείζει, χωρίς να δυσκολεύεται. Αυτός θα προσέχει πάντοτε τους λόγους του και τας κρίσστου, ώστε να μη θίγη τους άλλους, αλλά να τους οικοδομή.

[6] ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

[6] Ο δίκαιος αυτός άνθρωπος ποτέ δεν θα σαλευθή εις την πίστιν του· εις την ζωήν του ποτέ δεν θα κλονισθή, ώστε να πέση, αλλά θα μνημονεύεται δια παντός εκ μέρους των άλλων.

[7] ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται· ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.

[7] Δεν θα φοβηθή τας ψευδείς και συκοφαντικάς διαδόσεις των άλλων. Η καρδία του είναι ετοίμη και σταθερά στο να ελπίζη πάντοτε στον Κυριον.

[8] ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ·

[8] Είναι στερεωμένη η καρδία του και ποτέ δεν θα φοβηθή από κανένα κίνδυνον, αλλά τουναντίον θα ίδη τους εχθρούς αυτού να ταπεινώνονται ενώπιον του.

[9] ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.

[9] Αυτός εσκόρπισε τον πλούτον του με αγάπην. Εδωκεν στους πτωχούς. Η αρετή του και η αγάπη του μένει στον αιώνα του αιώνος και υμνείται παρά των ανθρώπων. Η δύναμίς του θα ανυψωθή εις μεγάλο ύψος δόξης.

[10] ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται· ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.

[10] Ο αμαρτωλός θα ίδη αυτά και θα καταληφθή από οργήν. Θα τρίξη τα δόντια του, θα λυώση από τον φθόνον του, αλλά αι φθονεραί επιθυμίαι του, όπως και κάθε πονηρά επιθυμία του αμαρτωλού ανθρώπου, θα χαθή, θα πέση στο κενόν.

112 ᾽Αλληλούϊα.

[1] (Μασ. 113) ΑΙΝΕΙΤΕ, παῖδες, Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου·

[1] (Μασ. 113) Δοξολογείτε, παίδες, πάντοτε τον Κυριον. Υμνολογήσατε το πάντιμον όνομα του

Κυρίου.

[2] εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

[2] Ας είναι το όνομα του Κυρίου πάντοτε δοξασμένον από τώρα και έως στους απεράντους αιώνας των αιώνων.

[3] ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.

[3] Δοξασμένον ας είναι το όνομα του Κυρίου από των ανατολών ηλίου μέχρι και των δυσμών, εις όλην την έκτασιν της οικουμένης και της γης.

[4] ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.

[4] Μέγας, κυρίαρχος και ένδοξος ο Κυριος επάνω εις όλα τα έθνη. Η δόξα του ξεπερνά τα ύψη των ουρανών.

[5] τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν

[5] Ποιός άλλος είναι τόσον μέγας και ένδοξος, όσον είναι ο Κυριος και Θεός μας; Κανείς. Αυτός είναι που κατοικεί εις τα ύψη των ουρανών.

[6] καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ,

[6] Αυτός ρίπτει ένα βλέμμα ευμενείας και καλωσύνης στους ταπεινούς, που υπάρχουν στον ουρανόν και εις την γην.

[7] ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα

[7] Αυτός ανασηκώνει από το χώμα ισχυρόν και πλούσιον τον πεσμένον εκεί πτωχόν, τον δε δυστυχή και πεινασμένον, που κάθεται επάνω εις την κοπριάν, τον ανυψώνει και τον δοξάζει,

[8] τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ·

[8] δια να τον βάλη να καθήση μαζή με τους επισήμους ανθρώπους, με τους άρχοντας του εκλεκτού του λαού.

[9] ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

[9] Αυτός εγκαθιστά μόνιμον και αμετακίνητον στον οίκον της την πρώην στείραν, διότι την αναδεικνύει μητέρα ευφραινομένην εις τα πολλά παιδιά της.

113

ʼΑλληλούϊα.

[1] (Μασ. 114) ΕΝ ΕΞΟΔΩ ʼΙσραὴλ ἐξ Αἰγύπτου, οἴκου ʼΙακὼβ ἐκ λαοῦ βαρβάρου,

[1] (Μασ. 114) Οταν ο ισραηλιτικός λαός επραγματοποίησε την έξοδόν του από την Αίγυπτον, όταν οι απόγονοι του Ιακώβ ελεύθεροι απεμακρύνθησαν από τον βάρβαρον αιγυπτιακόν λαόν,

[2] ἐγενήθη ʼΙουδαία ἁγίασμα αὐτοῦ, ʼΙσραὴλ ἐξουσία αὐτοῦ.

[2] τότε κυρίως η Ιουδαία εξεχωρίσθη από τα αλλά ειδωλολατρικά έθνη και έγινε αφιερωμένη στον Θεόν, ο δε ισραηλιτικός λαός, ετέθη υπό την ιδιαιτέραν διακυβέρνησιν και πρόνοιαν του Θεού. Αυτό άλλως τε μαρτυρεί το πλήθος των θαυμαστών έργων.

[3] ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ ʼΙορδάνης ἐστράφη εἰς τὰ ὀπίσω·

[3] Η Ερυθρά Θαλασσα είδε τον ισραηλιτικον λαόν και υπεχώρησε, σχισθείσα εις δύο. Ο Ιορδάνης ποταμός ανέκοψε το ρεύμα του και εστράφη εις τα οπίσω, δια να δώση δίοδον στους Ισραηλίτας.

[4] τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

[4] Τα όρη εσκίρτησαν από αγαλλίασιν ωσάν κριοι και τα βουνά σαν τα αρνάκια των προβάτων.

[5] τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, ʼΙορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

[5] Τι συνέβη εις σέ, ω θάλασσα, που εσχίσθης εις δύο και υπεχώρησες προ των Ισραηλιτών, και συ, Ιορδάνη, που ανέκοψες την ροήν σου προς την

θάλασσαν, και εγύρισες προς τα οπίσω;

[6] τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;

[6] Διατί σεις, όρη του Σινά, εσκιρτήσατε ωσάν κριοι και τα βουνά ωσάν αρνάκια προβάτων;

[7] ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ ᾿Ιακὼβ

[7] Εγιναν αυτά, επειδή εσημειώθη εκεί η παρουσία του Κυρίου. Εσείσθη η γη με την εμφάνισίν του Θεού του Ιακώβ.

[8] τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

[8] Αυτού, ο οποίος μετέβαλε τον ξηρόν βράχον εις λίμνας υδάτων και τον απότομον σκληρόν γρανίτην εις πηγάς υδάτων.

[9] μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου,

[9] Εγιναν αυτά προς χάριν ημών. Ομως οχι προς ημάς, Κυριε, οχι προς ημάς, αλλά στο πάντιμον Ονομά σου δώσε δόξαν. Εις σε και μόνον πρέπει η δόξα δια την πολλήν ευσπλαγχνίαν σου, που έδειξες και δεικνύεις προς ημάς, και δια την αλήθειαν, την οποίαν μας φανέρωνεις.

[10] μήποτε εἴπωσι τὰ ἔθνη· ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

[10] Σώζε μας πάντοτε σύμφωνα με την υπόσχεσίν σου, δια να μη καταστραφώμεν και είπουν τα ειδωλολατρικά έθνη· Που είναι, λοιπόν, ο Θεός των;

[11] ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησε.

[11] Και όμως ο Θεός μας υπάρχει παντού, στον ουρανόν και εις την γην, και όλα τα έργα, τα οποία ηθέλησε και θέλει, έπραξε και πράττει.

[12] τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·

[12] Αντιθέτως τα είδωλα των εθνών είναι κατασκευασμένα από άργυρον και χρυσόν, έργα ανθρωπίνων χειρών,

[13] στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται,

[13] που έχουν στόμα άλλα δεν ημπορούν να ομιλήσουν, έχουν οφθαλμούς και δεν ημπορούν να ίδουν,

[14] ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται,

[14] έχουν αυτιά αλλά δεν ακούουν, έχουν ρίνας και δεν ημπορούν να οσφρανθούν.

[15] χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.

[15] Εχουν χέρια, αλλά δεν δύνανται να ψηλαφήσουν, έχουν πόδια, χωρίς και να ημπορούν να βαδίσουν, ούτε δύνανται να αρθρώσουν λέξιν από τους λάρυγγας αυτών.

[16] ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.

[16] Ομοιοι με τα είδωλα αυτά, τα νεκρά και τα άψυχα, ας γίνουν και εκείνοι, οι οποίοι τα κατασκευάζουν και όλοι εκείνοι, οι οποίοι πιστεύουν εις αυτά.

[17] οἶκος ᾿Ισραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

[17] Ο δε Ισραηλιτικός λαός ήλπισεν απ' αρχής και θα ελπίζη στον Κυριον, διότι αυτός είναι βοηθός εις τας ανάγκας του, υπερασπιστής στους διαφόρους κινδύνους, που τον απειλούν.

[18] οἶκος ᾿Ααρὼν ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

[18] Ο ιερατικός οίκος του Ααρών ήλπισε και ελπίζει προς τον Κυριον. Βοηθός και υπερασπιστής αυτών είναι ο αληθινός Θεός.

[19] οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

[19] Οι προσήλυτοι από τα διάφορα ειδωλολατρικά έθνη, που σέβονται τον αληθινόν Θεόν, ήλπισαν και ελπίζουν εις αυτόν. Διότι είναι βοηθός και υπερασπιστής των.

[20] Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν

[20] Ο Κυριος μας ενθυμείται, μας έχει πάντοτε προ

ἡμᾶς, εὐλόγησε τὸν οἶκον ᾽Ισραήλ, εὐλόγησε τὸν οἶκον ᾽Ααρών,

[21] εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.
[22] προσθείη Κύριος ἐφ᾽ ὑμᾶς, ἐφ᾽ ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.
[23] εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

[24] ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

[25] οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου,

[26] ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

οφθαλμών, μας ηυλόγησε με την προστασίαν και τα αγαθά του και θα μας ευλογή. Θα ευλογήση την ιερατικήν οικογενειάν του Ααρών!
[21] Θα ευλογήση τους προσηλύτους, οι οποίοι τον σέβονται, τους μικρούς μαζή με τους μεγάλους.

[22] Είθε να προσθέση ο Κυριος εις σας, εις σας και εις τα τέκνα σας νέας ευλογίας.
[23] Είθε να είσθε σεις ευλογημένοι παρά του Κυρίου και εις δόξαν του Κυρίου, ο οποίος εδημιούργησε το σύμπαν, τον ουρανόν και την γην.
[24] Ο υπεράνω του ουρανού των αστέρων υπέρτατος ουρανός ανήκει στον Κυριον ως ίδικόν του κατ' εξοχήν ενδιαίτημα· την γην όμως έδωκεν ως κατοικίαν στους ανθρώπους.
[25] Βοήθησέ μας, Κυριε, να ζήσωμεν ειρηνικοί και μακροχρόνιοι εδώ εις την γην, δια να σε δοξάζωμεν, διότι οι νεκροί δεν σε δοξάζουν, Κυριε. Αυτοί, οι οποίοι κατεβαίνουν κάτω στο σκότος του άδου, δεν σε ενθυμούνται και δεν σε δοξολογούν.
[26] Αλλά ημείς, που ζώμεν, θα δοξολογήσωμεν τον Κυριον καθ' όλην την ζωήν μας και τώρα και δια δε των απογόνων μας στους αιώνας των αιώνων.

114

᾽Αλληλούϊα.
[1] (Μασ. 115) ΗΓΑΠΗΣΑ, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου,
[2] ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.
[3] περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗροσάν με· θλῖψιν καὶ ὀδύνην εὗρον,

[4] καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην· ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.

[5] ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.
[6] φυλάσσων τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, καὶ ἔσωσέ με.

[7] ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε,

[1] (Μασ. 115) Ηγάπησά με όλην μου την καρδιά τον Κυριον, διότι έκαμε δεκτήν και θα κάμνη και στο μέλλον δεκτήν την θερμήν προσευχήν μου.
[2] Διότι έκλινε το αυτί του προς εμέ, και εγώ θα τον επικαλούμαι εις όλας τας ημέρας της ζωής μου.
[3] Θανάσιμοι πόνοι και αγωνίαι θανάτου με έχουν περικυκλώσει. Φοβεροί κίνδυνοι με ευρήκαν, οι οποίοι απειλούν να με κρημνίσουν στον άδην. Θλίψιν και οδύνην συνήντησα εις την πορείαν της ζωής μου.
[4] Υπό το κράτος των αγωνιωδών αυτών περιστάσεων επεκαλέσθην δια της προσευχής το όνομα του Κυρίου και είπα· Ω Κυριε, σώσε την ζωήν μου από τους τρομερούς κινδύνους.
[5] Ο Κυριος είναι εύσπλαγχνος και δίκαιος. Αυτός στέλλει πλούσια τα ελέη του προς ημάς.
[6] Ο Κυριος φυλάσσει τα νήπια, τους αδυνάτους, τους ακάκους και αδόλους κατά την καρδίαν ανθρώπους. Εγώ εταπεινώθην ως ένα νήπιον ενώπιόν του και ο Κυριος δια την ταπείνωσίν μου αυτήν με έσωσε.
[7] Ω ψυχή μου, σύνελθε από την ταραχήν και ατονίαν, εις την οποίαν έχεις περιπέσει. Ξαναγύρισε εις την προτέραν σου ανάπαυσιν και ειρήνην, διότι ο Κυριος σε έχει πλέον ευεργετήσει.

[8] ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.
[9] εὐαρεστήσω ἐνώπιον Κυρίου, ἐν χώρᾳ ζώντων.

[8] Πράγματι ο Κυριος εγλύτωσε την ζωήν μου από τον θάνατον, τους οφθαλμούς μου τους απήλλαξεν από τα δάκρυα και τους πόδας μου τους διεφύλαξεν από ολισθήματα.
[9] Δια τούτο, εφ' όσον θα ζω, εφ' όσον θα υπάρχω εις την γην των ζώντων ανθρώπων, θα προσπαθώ να πράττω πάντοτε το ευάρεστον ενώπιον Κυρίου.

115

ʼΑλληλούϊα.
[1] (Μασ. 116) ΕΠΙΣΤΕΥΣΑ, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

[2] ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· πᾶς ἄνθρωπος ψεύστης.

[3] τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;
[4] ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

[5] τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.
[6] τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

[7] ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. διέρρηξας τοὺς δεσμούς μου,

[8] σοὶ θύσω θυσίαν αἰνέσεως καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

[9] τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ,
[10] ἐν αὐλαῖς οἴκου Κυρίου ἐν μέσῳ σου, ʽΙερουσαλήμ.

[1] (Μασ. 116) Επίστευσα στον Θεόν, και, φωτιζόμενος από αυτήν την πίστιν, ωμίλησα την αλήθειαν και είπα· εξ αιτίας των πολλών θλίψεων εταπεινώθηκα πάρα πολύ.
[2] Εγώ δε εις κατάστασιν εκστάσεως και αναταραχής ευρισκόμενος είπα· Καθε άνθρωπος είναι ψεύστης· εις αυτόν, λοιπόν, θα στηριχθώ η στον παντοδύναμον και αληθινόν Θεόν;
[3] Τι ανταποδώσω στον Κιριον δι' όλας τας ευεργεσίας τας οποίας έχει κάμει προς εμέ;
[4] Θα πάρω και θα πιώ οίνον από το ποτήριον της ειρηνικής θυσίας, που του προσφέρω δια την σωτηρίαν μου, και πλήρης ευγνωμοσύνης θα αναφέρω και θα επικαλεσθώ το όνομα του Κυρίου.
[5] Τα τάματα, τα οποία έχω κάμει, θα τα αποδώσω προς τον Κυριον έμπροσθεν όλου του λαού.

170 Είθε να φθάση εις σέ, Κυριε, η ιερά αυτή αξίωσίς μου. Κυριε, σύμφωνα με την υπόσχεσίν σου, γλύτωσέ με από τους διαφόρους κινδύνους, που απειλούν την ζωήν μου.
171 Είθε από την καρδίαν και τα χείλη μου να αναβλύζουν πλούσιοι ύμνοι εις δόξαν σου. Και τούτο θα γίνη, όταν με διδάξης τα προστάγματά σου.
172 Είθε η γλώσσά μου να ομιλή και να διαλαλή πάντοτε τα λόγια σου, διότι όλαι αι εντολαί σου είναι δίκαιαι και ορθαί.
173 Ας απλωθή προς εμέ το προστατευτικό σου χέρι, δια να με σώσης, διότι εγώ, υπέρ πάντα τα άλλα, επροτίμησα και ηγάπησα τας εντολάς σου.
174 Με όλην μου την καρδίαν επόθησα την σωτηρίαν, την οποίαν συ, Κυριε, δίδεις, και ο Νομος σου είναι παντοτεινή μου μελέτη.
175 Χαρις εις την ιδικήν σου προστασίαν θα ζήσω και θα σε υμνώ, αι δε δίκαιαι κρίσεις σου θα με βοηθήσουν.
176 Επλανήθην, Κυριε, σαν απολωλός πρόβατον, μη με αφήσης· αναζήτησε εμέ τον δούλον σου, διότι ποτέ εγώ δεν ελησμόνησα τας εντολάς σου.

119 ᾽Ωδὴ τῶν ἀναβαθμῶν.

1 (Μασ. 120) ΠΡΟΣ Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.
2 Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

3 τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

4 τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

5 οἴμοι! ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.

6 πολλὰ παρῴκησεν ἡ ψυχή μου.

1 (Μασ. 120) Προς τον Κυριον εις περιστάσεις θλίψεων έκραξα δια της προσευχής και με εισήκουσε·

2 και τώρα, Κυριε, γλύτωσε την ψυχήν μου από χείλη, τα οποία ομιλούν εναντίον μου αδικίας και συκοφαντίας, από γλώσσαν, η οποία εξυφαίνει δολοπλοκίας.
3 Ποία βοήθεια πρέπει να σου δοθή, ποία ενίσχυσις πρέπει να προστεθή επί πλέον εις σέ, δια να αποκρούσης την δολοπλόκον γλώσσαν;
4 Θα σου δοθούν τα ακονισμένα βέλη του παντοδυνάμου Θεού, τα ωπλισμένα με άνθρακας πυρός, τα οποία κατακαίουν και ερημώνουν.
5 Αλλοίμονον! Διότι η παραμονή μου εις την ξένην γην παρετάθη επί μακρόν. Κατεσκήνωσα μαζή με τους σκηνίτας Κηδάρ, με τους βαρβάρους απογόνους του Ισμαήλ.
6 Επί πολύν χρόνον παρετάθη η ξενητειά μου.

[7] μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

[7] Με τους ανθρώπους, οι οποίοι εμισούσαν την ειρήνην, εγώ ήμην πάντοτε ειρηνικός. Οταν συνωμιλούσα με αυτούς, εκείνοι με επολεμούσαν χωρίς λόγον και αφορμήν. Σώσέ με, Κυριε.

120 Ὠδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 121) ΗΡΑ τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.
[2] ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.
[3] μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

[4] ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

[5] Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου·

[6] ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.
[7] Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.
[8] Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

[1] (Μασ. 121) Από την ξένην χώραν εσήκωσα τα μάτιά μου προς τα όρη Σιών, από όπου θα έλθη η βοήθειά μου παρά του Κυρίου, δια να επαναπατρισθώ.
[2] Η βοήθειά μου θα έλθη από τον Κυριον, ο οποίος εδημιούργησε τον ουρανόν και την γην.

[3] Είθε, ω ψυχή μου, ποτέ να μη σαλευθή το ποδί σου. Ποτέ να μη νυστάξη και αδιαφορήση δια σε ο Κυριος, ο οποίος σε φυλάσσει.
[4] Ιδού, δεν θα νυστάξη, ούτε θα κοιμηθή, ούτε θα αδιαφορήση ο Κυριος, ο οποίος περιφρουρεί τον ισραηλιτικόν λαόν.
[5] Τουναντίον, ο Κυριος θα σε περιφρουρήση ασφαλή, ω λαέ του Ισραήλ. Ο Κυριος θα είναι ο παντοδύναμος σκεπαστής και υπερασπιστής σου, ο οποίος θα ίσταται συμπαραστάτης σου εκ δεξιών σου.
[6] Τοτε κατά την ημέραν ο ήλιος δεν θα σε καυματίση, ούτε η σελήνη θα σε βλάψη κατά την νύκτα.
[7] Ο Κυριος θα σε προφυλάξη από κάθε κακόν. Θα φυλάξη την ζωήν σου ο Κυριος.

[8] Ο Κυριος θα φυλάξη την είσοδόν σου και την έξοδόν σου από το σπίτι σου· γενικώς την πορείαν της ζωής σου και στο παρόν και στο μέλλον.

121 Ὠδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 122) ΕΥΦΡΑΝΘΗΝ ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου πορευσόμεθα.

[2] ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἰερουσαλήμ.
[3] Ἰερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

[4] ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου·

[1] (Μασ. 122) Εσκίρτησα από χαράν και αγαλλίασιν, όταν, ενώ ευρισκόμην εις ξένην χώραν, μερικοί προσκυνηταί μου είπαν· Θα πορευθώμεν τώρα στον ναόν του Κυρίου.
[2] Και ιδού, τα πόδια μας τώρα ίστανται εις τας αυλάς σου, ω Ιερουσαλήμ.
[3] Η Ιερουσαλήμ, η οποία έχει οικοδομηθή ως πολυάνθρωπος, μεγάλη και λαμπρά πόλις, της οποίας τα κτίρια συνέχονται το ένα με το άλλο, ώστε να μη είναι αραιοκατωκημένη.
[4] Περισσότερον όμως ποθητή και αγαπητή είναι, διότι εκεί ανέρχονται αι διάφοροι φυλαί, αι φυλαί του λαού του Θεού, σύμφωνα προς την εντολήν του Κυρίου, δια να υμνήσουν και δοξολογήσουν το πάντιμον

[5] ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυΐδ.

[6] ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν ῾Ιερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε·

[7] γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

[8] ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ·
[9] ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

[5] Ηυφράνθη η Ιερουσαλήμ, διότι εκεί εστήνοντο θρόνοι δικαστικοί, θρόνοι δια την βασιλεύουσαν οικογένειαν του Δαυίδ.
[6] Ω σεις οι προσκυνηταί, παρακαλέσατε τον Κυριον δια την ασφάλειαν, την ειρήνην και την ευημερίαν της Ιερουσαλήμ. Ω Ιερουσαλήμ! Ευτυχία ας υπάρχη πάντοτε εις εκείνους, οι οποίοι σε αγαπούν.
[7] Ειρήνη ας βασιλεύς μέσα εις τα τείχη σου, τα οποία αποτελούν την δύναμιν, που σε περιφρουρεί. Αφθονία και ασφάλεια ας υπάρχη στους πύργους των θησαυρών σου και τους προμαχώνας σου.
[8] Χαριν των αδελφών μου και των φίλων μου, που κατοικούν εις σέ, εύχομαι πάντοτε ειρήνην και ευημερίαν δια σέ.
[9] Χαριν του ναού Κυρίου του Θεού μας εζήτησα και ζητώ με θερμήν προσευχήν αγαθά δια σέ, ω Ιερουσαλήμ.

122 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 123) ΠΡΟΣ σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.
[2] ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

[3] ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως,
[4] ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

[1] (Μασ. 123) Προς σε και μόνον έχω υψωμένα τα μάτια μου, Κυριε, ο οποίος κατοικείς στον ουρανόν.

[2] Ιδού, όπως τα μάτια των δούλων είναι προσηλωμένα εις τα χέρια των κυρίων των, και οι οφθαλμοί της δούλης εις τα χέρια της κυρίας της, περιμένοντες από εκείνους αγαθά, έτσι και τα μάτια μας στρέφονται προς Κυριον, τον Θεόν μας και τον παρακαλούν, μέχρις ότου πλούσιον εκδηλώση προς ημάς το έλεός του.
[3] Ελέησέ μας, Κυριε, ελέησέ μας, διότι επί μακρόν χρόνον εγεμίσαμεν από καταφρόνησιν και εξουθένωσιν.
[4] Εγέμισε με το παραπάνω η ψυχή μας. Είθε η καταισχύνη να έλθη εναντίον των πλουσίων και αλαζονικών τυράννων μας, ο εξευτελισμός και η εξουθένωσις εναντίον των υπερηφάνων, οι οποίοι μας κατατυραννούν.

123 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 124) ΕΙ ΜΗ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ ᾿Ισραήλ·

[2] εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν ἐν τῷ

[1] (Μασ. 124) Εάν ο Κυριος δεν ήτο μαζή μας, βοηθός και υπερασπιστής μας, ας το ομολογήση λοιπόν όλος ο ισραηλιτικός λαός,
[2] εάν ο Κυριος δεν ευρίσκετο μαζή μας, όταν οι

ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς,

[3] ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ᾽ ἡμᾶς·
[4] ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν·

[5] ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.
[6] εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

[7] ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.
[8] ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

εχθροί μας πάνοπλοι και ισχυροί εξηγέρθησαν εναντίον μας,
[3] ασφαλώς και βεβαίως ζωντανούς θα μας κστέπιναν, όταν η οργή των είχεν ανάψει εναντίον μας.

[4] Το ορμητικόν ρεύμα του μίσους και της κακίας των θα μας κατεπόντιζε και θα μας κατέπνιγε. Ποταμόν ορμητικόν από εκείνους, που σχηματίζονται τον χειμώνα, θα διήρχετο η ψυχή μας.
[5] Ασφαλώς θα διήρχετο η ψυχά μας βαθύτατον ύδωρ, όπου πυθμήν δεν υπάρχει, και θα κατεποντίζετο.
[6] Ας είναι όμως ευλογημένον και δοξασμένον το όνομά του Κυρίου, ο οποίος δεν μας αφήκε να γίνωμεν θήραμα και τροφή στους οδόντας των αγρίων αυτών θηρίων, των εχθρών μας.
[7] Η ζωη μας εγλύτωσεν από τα χέρια των, όπως το στρουθίον διαφεύγει την παγίδα των κυνηγών. Η παγίς των εχθρών μας συνετρίβη και ημείς διεσώθημεν.
[8] Η βοήθεια και η σωτηρία μας οφείλεται στον παντοδύναμον Κυριον μας, ο οποίος εδημιούργησε τον ουρανόν και την γην.

124 Ὠδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 125) ΟΙ ΠΕΠΟΙΘΟΤΕΣ ἐπὶ Κύριον ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ.

[2] ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

[3] ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

[4] ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ·

[5] τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

[1] (Μασ. 125) Αυτοί που έχουν στηρίξει την πεποίθησιν των εις τον Κύριον, ομοιάζουν προς το ακλόνητον όρος της Σιών, διότι όπως εκείνο, έτσι και ο κάθε κάτοικος της Ιερουσαλημ, που πιστεύει εις τον Θεο, ποτέ δεν θα κλονισθή.
[2] Όπως γύρω από την Ιερουσαλήμ υπάρχουν λόφοι, οι οποίοι την προασπίζουν από τας επιδρομάς των εχθρών, έτσι και ο Κύριος ως ακατανόκητον όπλον ευρίσκεται γύρω από τον λαόν του, προστατεύων αυτόν εις τους αιώνας των αιώνων.
[3] Δεν θα επιτρέψη ο Κύριος να πίπτη βασανιστική και τυραννική η ράβδος και η εξουσία των αμαρτωλών εναντίον της κληρονομίας των δικαίων Ισραηλιτών. Και τούτο, δια να μη σκανδαλισθούν οι δίκαιοι από τον θρίαμβον του κακού και απλώσουν και αυτοί τα χέρια των εις έργα παρανομίας.
[4] Δείξε και στείλε, Κύριε, τα αγαθά σου εις τους αγαθούς ανθρώπους, εις αυτούς που έχουν ειλικρινή και άδολον την καρδίαν.
[5] Αυτούς όμως, οι οποίοι παρεκκλίνουν εις τους διεστραμμένους δρόμους της πονηρίας, θα εξολοθρεύση ο Κύριος, μαζή με τους εργαζομένους την ανομίαν. Είθε να βασιλεύη η ειρ'ηνη εις τον λαόν του Ισραήλ.

125 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 126) ΕΝ ΤΩ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

[1] (Μασ. 126) Οταν ο δίκαιος και παντοδύναμος Κυριος επανέφερεν ημάς τους αιχμαλώτους από την Βαβυλώνα και αποκατέστησεν εις την πατρίδα μας, ησθάνθημεν μεγάλην παρηγορίαν και χαράν.

[2] τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν.

[2] Τοτε εγέμισε το στόμα μας από ενθουσιώδεις αναφωνήσεις χαράς και η γλώσσα μας από λόγια αγαλλιάσεως. Τοτε και αυτοί ακόμη οι ειδωλολατρικοί, λαοί έλεγαν· Ο Κυριος έκαμε μεγάλα έργα προς χάριν των Ισραηλιτών.

[3] ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.

[3] Πράγματι μεγάλα και θαυμαστά έργα υπέρ ημών έκαμεν ο Κυριος. Δι' αυτό και ημείς εγεμίσαμεν από χαράν και αγαλλίασιν.

[4] ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ νότῳ.

[4] Επανάφερε όμως, Κυριε, και τους υπολειφθέντας αιχμαλώτους Ιουδαίους, πολυαρίθμους, σαν χειμάρρους, οι οποίοι κατά τον χειμώνα γεμίζουν νερά και ορμητικοί χύνονται προς νότον.

[5] οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι.

[5] Οσοι με δάκρυα απελπισίας εξ αιτίας της ξηρασίας σπείρουν τους αγρούς των, όταν πέσουν αι βροχαί και καρποφορήσουν οι αγροί των, θα θερίσουν σκιρτώντες από αγαλλίασιν.

[6] πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν.

[6] Οι γεωργοί μεταβαίνοντες στους αγρούς των ρίπτουν τους σπόρους με δάκρυα, διότι δεν γνωρίζουν, αν και τι θα θερίσουν. Κατά τον θερισμόν όμως επανέρχονται από τους αγρούς με αγαλλίασιν φέροντες στους ώμους των τα δεμάτια από τα μεστωμένα στάχυα. Ετσι και ημείς πονεμένοι και κλαίοντες εβαδίζαμεν προς την εξορίαν της Βαβυλώνος. Χαίροντες δε και αγαλλόμενοι επανήλθομεν με την βοήθειάν σου εις την πατρίδα μας.

126 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 127) ΕΑΝ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

[1] (Μασ. 127) Εάν ο ίδιος ο Κυριος δεν οικοδομήση και δεν ευδοκήση εις την ανοικοδόμησιν ενός οίκου, ματαίως εκοπίασαν οι οικοδομούντες αυτόν. Εάν ο ίδιος ο Κυριος δεν φυλάξη μίαν πόλιν, ματαίως ηγρύπνησαν οι φρουροί της.

[2] εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν, ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.

[2] Εάν δεν έχετε δοηθόν τον Θεόν, ματαίως εξυπνάτε από τον βαθύν όρθρον, δια να μεταβήτε εις τας εργασίας σας. Ματαίως, μόλις σηκωθήτε από την κλίνην σας η από την τράπεζαν του φαγητού, σπεύδετε προς την εργασίαν σας· και έτσι τρώγετε τον άρτον σας με πολύν κόπον και πόνον εις στιγμήν, κατά την οποίαν ο Κυριος δίδει στους αγαπητούς του πιστούς ανθρώπους ήρεμον ύπνον·

[3] ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί, ὁ

[3] ιδού ποιά είναι η πολύτιμος δωρεά του Κυρίου, που

μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

δίδεται από αυτόν στους αγαπητούς του. Είναι τα παιδιά, οι απόγονοι. Ο μισθός και η αμοιβή των δικαίων είναι τα τέκνα, καρπός της μητρικής γαστρός.

[4] ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

[4] Ωσάν βέλη εις τα χέρια ικανού και εμπείρου πολεμιστού ομοιάζουν τα παιδιά των παραμερισμένων από τους ανθρώπους, αλλά πιστών στον Θεόν γονέων.

[5] μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

[5] Μακάριος είναι ο γονεύς εκείνος, ο οποίος θα αποκτήση δια των παιδιών του ό,τι επιθυμεί. Δεν θα εντροπιασθούν οι γονείς αυτοί των πολλών πσιδιών, όταν συζητούν με τους εχθρούς των εις τας πύλας της πόλεως.

127 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 128) ΜΑΚΑΡΙΟΙ πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

[1] (Μασ. 128) Τρισευτυχισμένοι είναι όλοι όσοι φοβούνται και ευλαβούνται τον Κυριον, οι οποίοι πορεύονται και συμπεριφέρονται σύμφωνα με τας εντολάς του.

[2] τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

[2] Συ, που ευλαβείσαι τον Κυριον, θα τρώγης τους κόπους των χειρών σου, και όχι οι ξένοι και οι εχθροί σου. Είσαι καλότυχος και ευτυχισμένος, και όλα τα ζητήματά σου θα πάνε καλά.

[3] ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.

[3] Η γυναίκα σου, μέσα εις τα δωμάτια του σπιτιού σου, θα είναι ωσάν την κληματαριά της αυλής σου, την γεμάτην καρπούς. Τα παιδιά σου θα παρακάθηνται ολόγυρα από την τράπεζάν σου, σαν νεόφυτα δένδρύλλια ελαιών.

[4] ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

[4] Ιδού, έτσι θα ευλογηθή κάθε άνθρωπος, ο οποίος φοβείται και ευλαδείται τον Κυριον.

[5] εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου·

[5] Είθε, λοιπόν, σε τον φοβούμενον αυτόν, να σε ευλογήση ο Κυριος από την αγίαν Σιών, όπου ο ιερός ναός του, να ίδης και να απολαύσης τα αγαθά της Ιερουσαλήμ όλας τας ημέρας της ζωής σου.

[6] καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

[6] Είθε να ίδης τέκνα των τέκνων σου. Είθε η ειρήνη του Θεού να βασιλεύη εις ολόκληρον τον ισραηλιτικόν λαόν.

128 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 129) ΠΛΕΟΝΑΚΙΣ ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ·

[1] (Μασ. 129) Πολλές φορές και από πολύν καιρόν, όταν ακόμη ως νεαρόν έθνος ηρχίσαμεν την ζωήν μας εις την Αίγιπτον, μας επολέμησαν οι εχθροί μας. Ας το διακηρύξη αυτό ο ισραηλιτικός λαός.

[2] πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ

[2] Πολλές φορές μας επολέμησαν οι εχθροί μας από την αρχήν της εθνικής μας ζωής και όμως δεν

ἠδυνήθησάν μοι.

[3] ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

[4] Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.

[5] αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.
[6] γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη·
[7] οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων,

[8] καὶ οὐκ εἶπαν οἱ παράγοντες· εὐλογία Κυρίου ἐφ᾽ ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

κατόρθωσαν να μας επιβληθούν και να μας εξοντώσουν.
[3] Καθήσαντες τυραννικά επάνω μας, εσφυροκοπούσαν εις την ράχιν μας οι ασεβείς ειδωλολατρικοί λαοί και επί πολύν χρόνον επεξέτεινον την παράνομον αυτήν συμπεριφοράν.
[4] Αλλ' ο δίκαιος Κυριος κατέκοψε και εταπείνωσε τους αυχένας των αλαζονικών αμαρτωλών αυτών τυράννων μας.
[5] Ας κατεντροπιασθούν και ας στραφούν εντροπιασμένοι προς τα οπίσω όλοι εκείνοι, οι οποίοι μισούν την αγίαν Σιών, την Ιερουσαλήμ.
[6] Ας γίνουν όλοι αυτοί ωσάν το χορτάρι, που φυτρώνει επάνω εις τα λιακωτά, και το οποίον, πριν κανείς το εκριζώση, ξηραίνεται μόνον του.
[7] Από αυτό το χορτάρι δεν ημπορεί ποτέ να γεμίση τα χέρια του ο θεριστής, ο οποίος θερίζει τα στάχυα, ούτε βέβαια και την αγκαλιάν του ο εργάτης, ο οποίος μαζεύει και δένει εις δεμάτια τα στάχυα.
[8] Ούτε οι διαβάται θα είπουν προς εκείνους οι οποίοι, τυχόν, θα εμάζευαν τα χορταράκια αυτά· η ευλογία και η ειρήνη του Θεού να είναι μαζή σας· ούτε και εκείνοι, φυσικά, θα απαντήσουν προς τους διαβάτας· Η ευλογία του Θεού μαζή σας. Εν ονόματι του Κυρίου σας ευλογούμεν και ημείς.

129 Ὠδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 130) ΕΚ ΒΑΘΕΩΝ ἐκέκραξά σοι, Κύριε·
[2] Κύριε, εἰσάκουσον τῆς φωνῆς μου· γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.
[3] ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται;

[4] ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

[5] ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.

[6] ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· ἀπὸ φυλακῆς πρωΐας

[1] (Μασ. 130) Από τα βάθη της ψυχής μου, εις δυστυχίαν ευρισκόμενος, Εκραξα, Κυριε, προς σέ.
[2] Κυριε, άκουσε και κάμε δεκτήν την δέησίν μου. Ας γίνουν προσεκτικά τα αυτιά σου εις τα λόγια της δεήσεώς μου.

[3] Κυριε, Κυριε, εάν παρατηρήσης και εξετάσης τας αμαρτίας μας, ποιός είναι δυνατόν να ανθέξη στο ερευνητικόν βλέμμα σου και την δικαίαν καταδικαστικήν απόφασίν σου;
[4] Παίρνω όμως θάρρος, διότι γνωρίζω ότι εις σε υπάρχει το έλεος και η συγχώρησις.
[5] Δια το όνομά σου, Κυριε, το οποίον υπενθυμίζει αγαθότητα και φιλανθρωπίαν, με πολλήν την υπομονήν και εγκαρτέρησιν ήλπισα εις σέ. Η ψυχή μου, με ακλόνητον πεποίθησιν εις την φιλαλήθειαν των υποσχέσεών σου, υπομένει και περιμένει την βοήθειαν σου.
[6] Η ψυχή μου ήλπισε και ελπίζει στον Κυριον, από βαθέος όρθρου μέχρι της προχωρημένης νυκτός. Εις τον Κυριον όλος ο ισραηλιτικός λαός ας ελπίζη από

ἐλπισάτω ᾽Ισραὴλ ἐπὶ τὸν Κύριον.
[7] ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις,

[8] καὶ αὐτὸς λυτρώσεται τὸν ᾽Ισραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

βαθείας πρωΐας μέχρι προχωρημένης νυκτός.
[7] Διότι στον Κυριον υπάρχει το έλεος. Εις αυτόν υπάρχει ανεξάντλητος και από αυτόν χορηγείται πλουσία η βοήθεια προς σωτηρίαν.
[8] Και αυτός θα απαλλάξη τον ισραηλιτικόν λαόν από όλας τας αμαρτίας του.

130 ᾽Ωδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 131) ΚΥΡΙΕ, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.

[2] εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

[3] ἐλπισάτω ᾽Ισραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

[1] (Μασ. 131) Κυριε, δεν υψώθηκε από κενοδοξίαν και υπερηφάνειαν η καρδία μου, ούτε και εσήκωσα τα μάτια μου με έπαρσιν απέναντι των άλλων. Δεν επεδίωξα δία λόγους φιλοδοξίας μεγαλεία, ούτε επεχείρησα πράγματα, που υπερβαίνουν την δύναμίν μου και την αξίαν μου, με σκοπόν να προκαλέσω τον θαυμασμόν.
[2] Εάν δεν εζούσα και δεν εφερόμην με ταπεινοφροσύνην, εάν δεν έχω εξαρτήσει όλην μου την ύπαρξιν από σε και προς σε δεν έχω υψωμένα τα βλέμματά μου, όπως το απογαλακτισμένον βρέφος προς την μητέρα του, έτσι ας ανταποδώσης εις την ψυχήν μου, τιμωρίαν μεν εάν εφέρθην με υπερηφάνειαν, αμοιβήν δε εάν έζησα με ταπεινοφροσύνην.
[3] Ολος ο Ισραηλιτικός λαός ας έχη στηριγμένας τας ελπίδας του προς τον Κυριον από τώρα και στον αιώνα του αιώνος.

131 ᾽Ωδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 132) ΜΝΗΣΘΗΤΙ, Κύριε, τοῦ Δαυΐδ καὶ πάσης τῆς πραότητος αὐτοῦ,

[2] ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ ᾽Ιακώβ·

[3] εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου,
[4] εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου,
[5] ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ ᾽Ιακώβ.
[6] ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν

[1] (Μασ. 132) Ενθυμήσου, Κυριε, τον Δαυίδ και όλην αυτού την ανεξικακίαν, την μάκροθυμίαν και την ταπεινοφροσύνην, δια των οποίων ευηρέστησεν εις σέ.
[2] Ενθυμήσου ότι ένορκον έδωκεν υπόσχεσιν εις σε τον Κυριον, έκαμε τάξιμον εις σε τον Θεόν του ισραηλιτικού λαού.
[3] Είπε· Δεν θα εισέλθω εις την σκηνήν που κατοικώ, ούτε θα ανεβώ στο στρωμένο κρεββάτι μου,

[4] ούτε θα παραδώσω τα μάτια μου στον ύπνον και τα βλέφαρά μου στον νυσταγμόν· δεν θα δώσω ανάπαυσιν στους κροτάφους μου,

[5] μέχρις ότου εύρω κατάλληλον τόπον δια τον Κυριον, δια την κατοικίαν του Θεού του Ιακώβ.
[6] Αυτά είπεν εκείνος, ημείς δε το έθνος του Ισραήλ,

ʼΕφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ·

[7] εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

[8] ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου·
[9] οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.
[10] ἕνεκεν Δαυῒδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.
[11] ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου·
[12] ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.
[13] ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ·
[14] αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ᾧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν·
[15] τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων,

[16] τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.
[17] ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου·

[18] τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ιδού ηκούσαμεν ότι η Κιβωτός της Διαθήκης ευρίσκετο εις Εφραθά, την ευρήκαμεν εις τας δασώδεις περιοχάς της Καριαθιαρείμ.
[7] Τωρα όμως θα εισέλθωμεν εις την Ιερουσαλήμ, εις τα σκηνώματα του Θεού. Θα προσκυνήσωμεν στον τόπον, όπου εστάθησαν οι πόδες του, όπου υπάρχει η ιερά Κιβωτός της Διαθήκης.
[8] Σηκω, λοιπόν, Κυριε, και αναπαύσου μονίμως πλέον στον λαόν σου· συ και η ιερά Κιβωτός σου, η οποία έως τώρα περιεπλανάτο από τόπου εις τόπον.
[9] Οι ιερείς σου ως ένδυμά των θα έχουν την δικαιοσύνην και οι άλλοι, οι αφωσιωμένοι εις σε 'Ισραηλιται, θα σκιρτούν από αγαλλίασιν και χαράν.
[10] Χαριν του πιστού δούλου σου Δαυίδ μη αποκρούσης και μη αποστροφής το πρόσωπον του εκάστοτε χρισμένου από σε βασιλέως του Ισραήλ.
[11] Ενορκον και αμετάθετον υπόσχεσιν έδωκεν ο Κυριος στον Δαυίδ και δεν θα την παραβή. Από τους απογόνους σου είπε, θα αναβιβάζω διαδόχους στον θρόνον σου.
[12] Εάν δε οι απόγονοί σου τηρήσουν την διαθήκην μου, τας σαφείς και ρητάς εντολάς, τας οποίας εγώ θα διδάξω εις αυτούς, τότε αυτοί και οι απόγονοί των θα καθήσουν αιωνίως επί του βασιλικού θρόνου σου.

[13] Αυτά είπεν ο Κυριος, διότι εξέλεξε δια τον εαυτόν του και ηγάπησε την Σων ως μόνιμον κατοικίαν του και διεκήρυξε ρητώς·
[14] Αυτή η Ιερουσαλήμ είναι η μόνιμος κατοικία μου εις αιώνας αιώνων. Εδώ θα κατοικήσω, διότι αυτήν εγώ εξέλεξα και επροτίμησα.
[15] Τα προς διατροφήν των κατοίκων της θηράματα και τα άλλα υλικά αγαθά εγώ θα ευλογήσω πλουσίως. Τους πτωχούς της θα τους χορτάσω με άρτους και με ποικίλας τροφάς.
[16] Τους ιερείς της θα τους ενδύσω με δύναμιν σωτηριώδη, και οι αφωσιωμένοι εις αυτήν άνθρωποι θα σκιρτούν με χαράν και αγαλλίασιν.
[17] Εκεί, εις την Ιερουσαλήμ, θα αναδείξω με λαμπρότητα την βασιλικήν δύναμιν του Δαυίδ. Εχω δε προετοιμάσει εκεί ως λαμπρότατον ανέσπερον φως αιώνιον βασιλέα, ένα από τους απογόνους του Δαυίδ, τον Μεσσίαν.
[18] Τους εχθρούς του χρισθέντος αυτού αιωνίου βασιλέως, θα τους περιβάλω με καταισχύνην. Εις αυτόν δε τον ίδιον θα ανθή και θα ευωδιάζη το αγίασμά μου.

132 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 133) ΙΔΟΥ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;
[2] ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ ᾽Ααρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾗαν τοῦ ἐνδύματος αὐτοῦ·
[3] ὡς δρόσος ᾽Αερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

[1] (Μασ. 133) Τι ωραιότερον η τι τερπνότερον υπάρχει, παρά το να κατοικούν αδελφοί εν αγάπη και ομονοία επί το αυτό;
[2] Είναι ωσάν το άγιον ευώδες μύρον, το οποίον εχύθη τότε εις την κεφαλήν του αρχιερέως Ααρών και καταβαίνει στον πώγωνά του, τον πώγωνα του Ααρών και φθάνει έως εις τα κράσπεδα του ενδύματός του.
[3] Είναι ωσάν την δρόσον του όρους Αερμών, η οποία κατεβαίνει και φθάνει ζωογόνος έως εις τα όρη Σιών. Διότι εκεί, εις την Σιών, υπεσχέθη ο Θεός την ευλογίαν του, ζωήν παντοτεινήν και ατελείωτον.

133 ᾨδὴ τῶν ἀναβαθμῶν.

[1] (Μασ. 134) ΙΔΟΥ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

[2] ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.
[3] εὐλογήσαι σε Κύριος ἐκ Σιὼν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

[1] (Μασ. 134) Εμπρός, λοιπόν, δοξολογείτε τον Κυριον δια την μεγαλωσύνην και τα θαυμαστά αυτού έργα όλοι σεις, οι δούλοι του Κυρίου, οι ιερείς, οι λειτουργοί του, οι οποίοι ίστασθε όρθιοι στον ναόν του Κυρίου, εις τας αυλάς του ναού του Θεού μας.
[2] Κατά τας νύκτας να υψώνετε τα χέρια σας, ιερείς-λειτουργοί προς την κατεύθυνσιν του ναού του Κυρίου και να δοξολογήτε τον Κυριον.
[3] Και οι Ιερείς προς τον λαόν απαντούν· Είθε, ω λαέ, να σε ευλογήση ο Κυριος από την αγίαν Σιών. Αυτός, ο οποίος εδημιούργησε τον ουρανόν και την γην.

134 ᾽Αλληλούϊα.

[1] (Μασ. 135) ΑΙΝΕΙΤΕ τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον,

[2] οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
[3] αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος· ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν·

[4] ὅτι τὸν ᾽Ιακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, ᾽Ισραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.
[5] ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.
[6] πάντα, ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ

[1] (Μασ. 135) Υμνους και δοξολογίας συνεχώς να αναπέμπετε στο όνομα Κυρίου. Αινείτε σεις οι ιερείς, δούλοι Κυρίου, τον Κυριον.
[2] Σεις που ίστασθε υπηρετούντες ευλαβώς στον οίκον Κυρίου, εις τας αυλάς του ναού του Θεού μας.
[3] Αινείτε τον Κυριον, διότι ο Κυριος μας είναι αγαθός, άξιος να του αναπέμπεται συνεχώς κάθε ύμνος και δοξολογία. Ψαλατε, τη συνοδεία μουσικών οργάνων, ύμνους στο Ονομά του, διότι αυτό είναι καλόν και ωφέλιμον.
[4] Ψαλατε εις αυτόν, διότι ο Κυριος ημάς τους απογόνους του Ισραήλ εξέλεξεν ως ιδικήν του περιουσίαν, ως ιδικόν του λαόν.
[5] Εγώ, ο ισραηλιτικός λαός, έχω πλέον γνωρίσει καλά και μάθει, ότι είναι μέγας ο Κυριος. Ο Κυριος ημών είναι ανώτερος από όλους τους ψευδείς θεούς.
[6] Αυτός δια της παντοδυναμίας, της πανσοφίας και αγαθότητός του, εδημιούργησεν όλα όσα ηθέλησεν

γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις·
[7] ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ,

στον ουρανόν, εις την γην και την θάλασσαν, και εις όλα τα αβυσσαλέα βάθη των ωκεανών.
[7] Αυτός είναι, ο οποίος υψώνει και κινεί τας νεφέλας από τα άκρα του ορίζοντος της γης και μετατρέπει τας αστραπάς εις βροχάς. Αυτός είναι, που βγάζει και εξαπολύει ασυγκράτητους ανέμους από τα θησαυροφυλάκιά του, εις τα οποία τους κρατεί κλεισμένους.

[8] ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους.
[9] ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.
[10] ὃς ἐπάταξεν ἔθνη πολλὰ καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

[8] Αυτός εκτύπησε δια θανάτου όλα τα πρωτότοκα της Αιγύπτου, από πρωτοτόκου του ανθρώπου μέχρι και του ζώου.
[9] Αυτός εις σέ, ω Αίγυπτε, εξαπέστειλεν ολοφάνερα σημεία και καταπληκτικά θαύματα, στον Φαραώ και εις όλους τους δούλους του Φαραώ.
[10] Αυτός είναι, ο οποίος εκτύπησε πολλά ειδωλολατρικά έθνη και εθανάτωσε ισχυρούς βασιλείς·

[11] τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν καὶ πάσας τὰς βασιλείας Χαναάν,
[12] καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.
[13] Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
[14] ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.
[15] τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·
[16] στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται,
[17] ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
[18] ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.
[19] οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρών, εὐλογήσατε τὸν Κύριον.
[20] οἶκος Λευΐ, εὐλογήσατε τὸν Κύριον· οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον,
[21] εὐλογητὸς Κύριος ἐκ Σιών, ὁ κατοικῶν Ἰερουσαλήμ.

[11] τον Σηών βασιλέα των Αμορραίων, και τον Ωγ βασιλέα της Βασάν, και άλλους βασιλείς όλων των βασιλείων της Χαναάν.

[12] Αυτός έδωκε την χώραν εκείνων κληρονομίαν και ιδιοκτησίαν, κληρονομίαν στον ιδικόν του λαόν τον ισραηλιτικόν.
[13] Κυριε, αλησμόνητον θα μείνη το όνομά σου στους αιώνας των αιώνων δια μέσου όλων των γενεών.

[14] Διότι ο Κυριος θα κυβερνά και θα διεκδική και θα υποστηρίζη τα δίκαια του λαού του και θα κάμπτεται εις τας ικεσίας αυτών.
[15] Εξ αντιθέτου τα είδωλα των διαφόρων ειδωλολατρικών λαών είναι άργυρος και χρυσός, έργα ανθρωπίνων χειρών.
[16] Εχουν στόμα και δεν ημπορούν να ομιλούν, οφθαλμούς έχουν και δεν ημπορούν να ίδουν.
[17] Εχουν αυτιά και δεν ημπορούν να ακούσουν. Δεν υπάρχει αναπνοή, δείγμα ζωής, στο στόμα των.

[18] Ομοιοι προς τα νεκρά και άψυχα αυτά είδωλα ας γίνουν όλοι εκείνοι, που τα κατασκευάζουν και όσοι στηρίζουν την πίστιν και τας ελπίδας των εις αυτά.
[19] Σεις όμως, Ισραηλίται, ανυμνολογήσατε τον Κυριον, ιερατικός οίκος του Ααρών δοξολογήσατε τον Κυριον.
[20] Σεις οι Λευίται δοξολογήσατε τον Κυριον. Οι ευλαβούμενοι και φοβούμενοι τον Κυριον δοξολογήσατε τον Κυριον.
[21] Ευλογημένος και δοξασμένος από την αγίαν Σιών ας είναι ο Κυριος, που κατοικεί εις την Ιερουσαλήμ.

135 Ἀλληλούϊα.

[1] (Μασ. 136) ΕΞΟΜΟΛΟΓΕΙΣΘΕ τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[2] ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

[3] ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

[4] τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[5] τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[6] τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[7] τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

[8] τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[9] τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[10] τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[11] καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[12] ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[13] τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[14] καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[15] καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν Ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

[16] τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν

[1] (Μασ. 136) Δοξολογείτε συνεχώς τον Κυριον, διότι είναι αγαθός, διότι ανεξάντλητον και αιώνιον είναι το έλεός του.
[2] Δοξολογείτε συνεχώς τον Θεόν, τον Κυριον εις όλους τους Θεούς της γης, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[3] Δοξολογείτε συνεχώς τον Κυριον, ο οποίος είναι ο απόλυτος εξουσιαστής και κυρίαρχος όλων των αρχόντων· διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[4] Δοξολογείτε αυτόν, ο οποίος επραγματοποίησεν έργα θαυμαστά μόνος του, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[5] Αυτόν, ο οποίος εδημιούργησε τους ουρανούς με άπειρον σοφίαν, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[6] Εστερέωσε την γην επάνω εις τα ύδατα, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.

[7] Δοξολογείτε αυτόν, ο οποίος μόνος του, χωρίς την βοήθειαν κανενός, εδημιούργησε τα μεγάλα φώτα, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[8] Εδημιούργησε δηλαδή τον ήλιον, δια να εξουσιάζη κατά το διάστημα της ημέρας, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[9] Εδημιούργησε την σελήνην και τους αστέρας, δια να εξουσιάζουν με το φως των κατά την νύκτα, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[10] Δοξολογείτε αυτόν, ο οποίος εκτύπησε με θάνατον τα πρωτοτόκα των Αιγυπτίων, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[11] Αυτόν, ο οποίος έβγαλεν ελεύθερον τον ισραηλιτικόν λαόν εκ μέσου των Αιγυπτίων, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[12] Τους ηλευθέρωσε με την ακατανίκητον δύναμίν του, με τον παντοδύναμον βραχίονα του, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[13] Δοξολογείτε τον Κυριον, ο οποίος διήρεσεν εις δύο την Ερυθράν θάλασσαν, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[14] Αυτόν, ο οποίος διεβίβασε δια μέσου αυτής τον ισραηλιτικόν λαόν, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[15] Αυτόν, ο οποίος εξετίναξε με απέραντον ευκολίαν τον Φαραώ και όλην την στρατιωτικήν εκείνου δύναμιν και τους κατεπόντισεν εις την Ερυθράν Θαλασσαν, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
[16] Αυτόν, ο οποίος καθωδήγησε και επροστάτευσε

τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
17 τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,

18 καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
19 τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
20 καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
21 καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
22 κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
23 ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,

24 καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
25 ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

26 ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

τον λαόν του εις την έρημον, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
17 Εκτύπησε και κατέβαλε βασιλείς μεγάλων περιοχών, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του. 18 Εθανάτωσε ισχυρούς βασιλείς, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
18 Εθανάτωσε ισχυρούς βασιλεί, διότι αιώνιον και ανεξαντήτον είναι το έλεός του.

19 Τον Σηών βασιλέα των Αμορραίων, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.

20 Και τον Ωγ βασιλέα της χώρας Βασάν, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
21 Αυτός έδωκε την χώραν εκείνων κληρονομίαν και ιδιοκτησίαν, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
22 Κληρονομίαν στους δούλους του τους Ισραηλίτας, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.

23 Δοξολογείτε τον Κυριον, διότι εις όλας τας περιστάσεις, κατά τας οποίας ευρέθημεν υπό το κράτος δεινών, θλίψεων και εξευτελισμών μας ενεθυμήθη ο Κυριος. Διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
24 Μας εγλύτωσεν από τα χέρια των εχθρών μας, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.

25 Αυτός δίδει τροφήν εις πάσαν σάρκα, εις κάθε τι το οποίον ζη, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.
26 Υμνείτε συνεχώς και δοξολογείτε τον Θεόν του ουρανού, διότι αιώνιον και ανεξάντλητον είναι το έλεός του.

136 Τῷ Δαυῒδ Ἰερεμίου.

1 (Μασ. 137) ΕΠΙ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.
2 ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν·

3 ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

1 (Μασ. 137) Εις τας όχθας των ποταμών της Βαβυλώνος εκεί εκαθήσαμεν δούλοι και εξόριστοι και εκλαύσαμεν ενθυμούμενοι την Ιερουσαλήμ.

2 Εις τας ιτέας, που υψώνονται εις τας όχθας των ποταμών, οι οποίοι διαρρέουν την χώραν, εκρεμάσαμεν θλιμμένοι τα μουσικά μας όργανα.
3 Και τούτο, διότι αυτοί οι οποίοι μας είχαν αιχμαλωτίσει και μεταφέρει εις την Βαβυλώνα, μας εζήτησαν εκεί να ψάλωμεν τα ιερά άσματα. Αυτοί που μας είχαν απαγάγει αιχμαλώτους από την πατρίδα μας, εζήτησαν να τους ψάλωμεν τους ιερούς

ὑμνους και μας έλεγαν· Ψαλατε εις ημάς από τα άσματα της πατρίδος σας, της Σιών!

4 πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;

4 Και ημείς είπομεν· Πως θα ψάλλωμεν την ιεράν ωδήν του Κυρίου εις ξένην ειδωλολατρικήν χώραν και θα λησμονήσωμεν την πατρίδα μας;

5 ἐὰν ἐπιλάθωμαί σου, ῾Ιερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου·

5 Εάν σε λησμονήσω, ω Ιερουσαλήμ, και θελήσω να ψάλλω με την συνοδείαν μουσικών οργάνων, εδώ εις την ξένην χώραν, ας γίνη αναίσθητος και παράλυτος η δεξιά μου χείρ.

6 κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν ῾Ιερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

6 Η γλώσσα μου, που θα τολμήση να ψάλλη τας ιεράς ωδάς, ας κολλήση στον λάρυγγά μου, εάν δεν σε ενθυμηθώ, εάν δεν προτάξω σε την Ιερουσαλήμ, ως την υψίστην χαράν και αγαλλίασιν της καρδίας μου.

7 μνήσθητι, Κύριε, τῶν υἱῶν ᾽Εδὼμ τὴν ἡμέραν ῾Ιερουσαλὴμ τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς.

7 Ενθυμήσου, Κυριε, και τιμώρησε τους εχθρούς μας τους Ιδουμαίους, οι οποίοι κατά την τραγικήν εκείνην ημέραν, που κατεστράφη η Ιερουσαλήμ, έλεγαν προς τους εχθρούς μας· Αδειάσατέ την, αδειάσατε την Ιερουσαλήμ από τους κατοίκους, καταστρέψατέ την από τα θεμέλιά της.

8 θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν·

8 Δυστυχία εις σέ, ταλαίπωρος και αθλία Βαβυλών, δια την έπαρσίν σου και τας αδικίας που έχεις κάμει! Μακάριος θα είναι εκείνος, ο οποίος θα σου ανταποδώση ο,τι έκαμες εις ημάς, τα δεινά, τα οποία έπραξες εις βάρος μας.

9 μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

9 Μακάριος θα είναι εκείνος, ο οποίος θα κρατήση εις τας χείρας του τα βρέφη σου και θα τα συντρίψη κτυπών αυτά στους βράχους.

137

Ψαλμὸς τῷ Δαυΐδ, ᾽Αγγαίου καὶ Ζαχαρίου.

1 (Μασ. 138) ΕΞΟΜΟΛΟΓΗΣΟΜΑΙ σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

1 (Μασ. 138) Θα σε δοξολογήσω, Κυριε, δια τα μεγαλεία σου και θα σε ευχαριστήσω δια τας ευεργεσίας σου με όλην μου την καρδιά. Ενώπιον των αγίων αγγέλων, οι οποίοι περιβάλλουν τον θρόνον σου, θα ψάλλω ύμνον προς σέ, διότι ήκουσες και έκαμες δεκτούς όλους τους λόγους, τους οποίους προσευχόμενος σου απηύθυνα με το στόμα μου.

2 προσκυνήσω πρὸς ναὸν ἅγιόν σου καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.

2 Θα προσκυνήσω με γυρισμένον το πρόσωπόν μου προς τον ναόν τον άγιόν σου και θα δοξολογήσω με ευγνωμοσύνης το Ονομά σου δια το έλεός σου και την φιλαλήθειάν σου, όπως αυτή κατεδείχθη εις την τήρησιν των υποσχέσεών σου. Διότι με τα καταπληκτικά έργα της μεγαλωσύνης σου απέδειξες, υπέρ παν άλλο όνομα, θαυμαστόν το άγιον Ονομά σου.

3 ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου· πολυωρήσεις

3 Εις οποιανδήποτε ημέραν και αν σε επικαλεσθώ, Κυριε, κάμε δεκτήν αμέσως την προσευχήν μου. Με

με ἐν ψυχῇ μου δυνάμει σου.

[4] ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.
[5] καὶ ᾄσάτωσαν ἐν ταῖς ᾠδαῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου,
[6] ὅτι ὑψηλὸς Κύριος καὶ τὰ ταπεινὰ ἐφορᾷ καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

[7] ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με· ἐπ᾽ ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου.

[8] Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

την ιδικήν σου δύναμιν, θα με προστατεύσης και θα μου δώσης ειρηνικήν και μακράν ζωήν.
[4] Ας σε δοξολογήσουν, Κυριε, όλοι οι βασιλείς της γης, διότι ήκουσαν και είδαν με τα ίδια των τα μάτια να εκπληρώνωνται όλαι αι υποσχέσεις, που είχες δώσει.
[5] Ας ψάλουν και αυτοί τας ιεράς ωδάς του Κυρίου, διότι μεγάλη είναι η δόξα του Κυρίου.
[6] Διότι ο Κυριος είναι μέγας και κραταιός· επιβλέπει στους ταπεινούς ανθρώπους, αλλά και τους υπερηφάνους τους διακρίνει και τους γνωρίζει από μακράν ακόμη.
[7] Εάν εις την πορείαν της ζωής μου περιπέσω εις θλίψεις, συ Κυριε, θα με σώσης από τους θανασίμους κινδύνους. Εναντίον των ωργισμένων εχθρών μου ήπλωσες τα παντοδύναμα χέρια σου και με έσωσεν η ακατανίκητος δεξιά σου.
[8] Ο Κυριος είναι πάντοτε ο υπερασπιστής μου και αυτός θα ανταποδώση την δικαίαν τιμωρίαν υπέρ εμού εναντίον των εχθρών μου. Κυριε το ελεός σου είναι αιώνιον. Μη αδιαφορήσης δια τα έργα των χειρών σου.

138 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.

[1] (Μασ. 139) ΚΥΡΙΕ, ἐδοκίμασάς με, καὶ ἔγνως με·
[2] σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου, σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν·

[3] τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας καὶ πάσας τὰς ὁδούς μου προεῖδες,

[4] ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου.

[5] ἰδού, Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα· σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.
[6] ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

[1] (Μασ. 139) Κυριε, με εδοκίμασες, με εγνώρισες και έμαθες ποιός είμαι.
[2] Συ με εγνωρισες καλά και όταν αναπαύωμαι και όταν εγείρωμαι. Ολη η πορεία της ζωής μου κατά την ημέραν και κατά την νύκτα σου είναι γνωστή. Συ κατανοείς καλώς τους διαλογισμούς μου από μακράν, πριν ακόμη συλληφθούν εις την διάνοιάν μου.
[3] Ολόκληρον τον δρόμον της ζωής μου, όσον διήνυσα μέχρι σήμερα και όσος υπολείπεται ακόμη συ τον γνωρίζεις μέχρι και των παραμικροτέρων λεπτομερειών. Ολας τας πορείας μου εκ των προτέρων γνωρίζεις, Κυριε.
[4] Και γνωρίζεις, ότι δεν υπάρχει δολιότης εις την γλώσσαν μου.
[5] Ιδού, Κυριε, συ ως παντογνώστης εγνώρισες όλα, τα πρόσφατα και τα αρχαία. Συ με επλασες και με έθεσες κάτω από το προστατευτικόν σου χέρι.
[6] Γεμάτος θαυμασμόν μένω εμπρός εις την ακριβεστάτην γνώσιν, την οποίαν έχεις περί εμού. Είναι άφθαστος και ασύγκριτος, αδύνατον να την συλλάβω με τας ασθενείς διανοητικάς δυνάμεις μου.

[7] ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

[8] ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει·

[9] ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ᾽ ὄρθρον καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,

[10] καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

[11] καὶ εἶπα· ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου·

[12] ὅτι σκότος οὐ σκοτισθήσεταί ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.
[13] ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

[14] ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

[15] οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς·

[16] τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἡμέρας πλασθήσονται καὶ οὐθεὶς ἐν αὐτοῖς.

[17] ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν·

[18] ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ

[7] Που είναι δυνατόν να πορευθώ, ώστε να είμαι μακράν από το Πνεύμά σου; Και που να καταφύγω, ώστε να μη ευρίσκωμαι κάτω από το ιδικόν σου βλέμμα;
[8] Εάν αναβώ στον ουρανόν, συ υπάρχεις εκεί. Εάν καταβώ στον άδην, συ παρευρίσκεσαι εκεί.

[9] Εάν αποκτήσω πτέρυγας και κατά τα χαράματα με αυτάς πετάξω πριν ανατείλη ο ήλιος, και κατασκηνώσω εις τα άκρα της ξηράς και της θαλάσσης, εκεί όπου δύει ο ήλιος, εκεί συ υπάρχεις.
[10] Και το στοργικό σου χέρι θα με καθοδηγήση και η παντοδύναμος δεξιά σου θα με κρατήση και θα με υποστηρίξη.
[11] Εάν είπω· ας έλθη λοιπόν σκοτάδι να με περιβάλη από όλα τα σημεία και να με σκεπάση και η σκοτεινή νυξ ας υποκαταστήση τον φωτισμόν της ημέρας, ώστε να διέρχωμαι αθέατος εν τρυφή τας ώρας της ζωής μου, θα πλανηθώ.
[12] Διότι το σκότος δεν είναι δια σε σκοτάδι, και η νύκτα είναι ενώπιόν σου φωτισμένη, όπως η ημέρα. Το σκότος της νυκτός είναι όπως το φως της ημέρας. Ολα ολόφωτα και καθαρά είναι ενώπιόν σου.
